(482, 26) Pero quizás no hemos entendido bien la intención del maestro, ya que hemos profundizado más de lo debido en los recuerdos tenebrosos. Él, probablemente, quiere reconfortar más que entristecer al auditorio, mientras que nosotros acabamos de hacer exactamente lo contrario, como si un médico, ocupándose de una herida, no solo no se preocupara de su cura, sino que, además, atormentara al paciente con medicamentos nocivos. Por eso, hace falta esparcir sobre la herida tumefacta un discurso que sea como un ungüento, pues también la medicina evangélica sabe mezclar el ungüento con el amargor del vino. Miremos entonces de extraer de las Escrituras el frasco del ungüento en la medida de lo posible, rehaciendo en un discurso consolador el sentido lúgubre de las palabras pronunciadas anteriormente.

Pero, ¡diantre!, que nadie dude de lo que afirmo, aunque pueda resultar increíble: existe, hermanos, el bien que buscamos, existe y no se ha perdido. Y, al contrario, más bien he dicho menos de la verdad, ya que no solo existe el bien, sino que se halla en lugares más elevados que los de antes. ¿Buscas a la emperatriz? Tiene su propia morada en los aposentos imperiales. Pero, ¿es mediante la vista como quieres tomar conciencia de esto? No es lícito para ti observar curiosamente el aspecto de la emperatriz: pues es terrible alrededor de ella la vigilancia de los doríforos, no me refiero a estos, que tienen la lanza como arma, sino a aquellos armados con la espada refulgente, cuyo aspecto el ojo humano no es capaz de aprehender. En lo más recóndito se encuentra la sede del Imperio: lo verás entonces, en el momento en el que tú abandonarás tu cuerpo, porque no hay otra manera de entrar en los penetrales del Reino sino por haber rasgado el velo de la carne. ¿O crees que es mejor ser partícipe de la vida carnal? Tal vez no te lo haya enseñado el divino apóstol, el que participó de los inefables

misterios del paraíso. ¿Qué dice él de la vida terrenal, hablando, como parece, en nombre de toda la humanidad? "¡Maldito sea yo por ser hombre! ¿Quién me rescatará de este cuerpo mortal?". ¿Por qué dice esto? Porque afirma: "el marcharse y el unirse con Cristo es sin duda mejor".

(484, 9) ¿Y el gran David, el que relucía por tanto poder, el que lo tenía todo para estar satisfecho y poder gozarlo? ¿No se siente abrumado por la vida? ¿No llama prisión a esta existencia por su nombre? ¿No grita al Señor: "libera de la prisión mi alma!"? No se muestra afligido por prolongarse la vida, diciendo: "¡Ay! ¡mi exilio ha sido prolongado!". ¿O quizás los santos no sabían distinguir el bien del mal y por esto consideraban preferible para el alma la separación del cuerpo? Pero tú, dime, ¿qué ves de hermoso en la existencia humana? Considera en qué términos ha de ser contemplada la vida. No te voy a repetir la máxima del profeta "el hombre es como hierba", ya que él, con este ejemplo, resalta, sin duda alguna, la infelicidad de nuestra naturaleza: quizás puede que hubiera sido preferible que ella fuese hierba en lugar de aquello que es. ¿Por qué? Porque la hierba no tiene ningún aspecto repugnante según la naturaleza, mientras nuestra carne es taller del hedor, ya que convierte en putrefacción todo aquello que guarda dentro.

¿Y obedecer constantemente a la servidumbre del vientre no es más gravoso que cualquier condena? Mirad por cierto al implacable verdugo (me refiero al vientre), cuán ingente es la necesidad de su petición diaria, de tal manera que, si alguna vez introdujéramos anticipadamente más de lo debido, no habríamos de ninguna manera satisfecho antes de tiempo la siguiente necesidad. ¿No es cierto que, al igual que los animales que se agotan en el molino con los ojos vendados, nosotros también, vendados, damos vueltas alrededor de la muela de la vida, recorriendo los mismos lugares y volviendo siempre sobre los mismos pasos? ¿He de explicarte este recorrido circular? Apetito, saciedad, sueño, despertar, vaciar, llenar. Siempre de aquellas causas estos efectos y de

estas causas aquellos efectos, y después de nuevo, y nunca paramos de movernos en círculo hasta que no salimos fuera del molino.

(485, 13) Con razón llama Salomón "vaso sin fondo" y "lugar extraño" a la existencia terrenal. Sin duda es una casa extraña y ajena, ya que no depende de nosotros tanto cuándo queremos ir como cuánto tiempo queremos estar, sino que no sabemos cuándo entramos ni tampoco cuándo partimos. Ahora entenderás el significado simbólico del tonel, si tienes en cuenta cómo son de insaciables los deseos humanos. ¿Ves cómo los hombres amontonan honores, poderes, glorias y todo tipo de cosas similares? Entonces lo que ha sido introducido desborda y no se queda en el recipiente, ya que, mientras la búsqueda de gloria, poder y honor está continuamente en acción, el tonel del deseo permanece sin llenar. ¿Y la codicia? ¿No es ciertamente un recipiente agujereado, que pierde por el fondo, y por consiguiente, aunque se le vertiera dentro todo el mar, por su condición no se podría llenar?

(486, 4) ¿Es entonces doloroso que la bienaventurada haya sido separada, como una legaña, de la suciedad del cuerpo, y se adentre con un espíritu puro en la vida incontaminada, donde el engaño no reina, donde la calumnia no goza de ningún crédito, la adulación no tiene lugar, la mentira no se mezcla, y placer, dolor, temor y valor, y pobreza y riqueza y esclavitud y señorío y todas estas disparidades típicas de la existencia están desterradas lo más lejos posible de aquella vida? "Huyen de allí", como dice el profeta, "sufrimiento, dolor y lamentación". Pero en su lugar ¿qué hay? Tranquilidad, beatitud, separación de todo mal, compañía de los ángeles, contemplación de lo invisible, comunión con Dios, júbilo sin fin. ¿Merece la pena entonces apenarse por la emperatriz, a sabiendas de que ha cambiado unas cosas por otras? Dejó un Imperio terrenal, pero asumió el celestial; dejó la diadema de gemas, pero se puso la de la gloria; se despojó de la púrpura, "pero se vistió de Cristo". Esta es la vestimenta realmente imperial y digna de honor. Sé que la púrpura de este mundo terrenal

se tiñe de rojo con la sangre de una concha marina, mientras la púrpura del mundo celestial la hace brillar la sangre de Cristo.

(487, 5) Has constatado, pues, cuán grande es la diferencia en las vestimentas. ¿Quieres saber qué hay de diferente en aquellas? Lee el Evangelio: "venid, benditos de mi Padre" (el juez dirige estas palabras a los justos), "heredad el Reino preparado para vosotros". ¿Preparado por quién? El que habéis preparado previamente para vosotros mismos, —dice— con vuestras obras. ¿De qué manera? "Tuve hambre, y me disteis de comer; tuve sed, y me disteis de beber; era forastero, y me acogisteis; estaba desnudo, y me vestisteis; estaba enfermo, y me visitasteis, estuve en prisión, y vinisteis a verme". "En verdad os digo: todo lo que habéis hecho por uno de estos hermanos míos más pequeños, lo habéis hecho a mí". Si entonces el esfuerzo de estas acciones es garantía del Reino celestial, contad, si es posible contaros a todos, cuántos fueron vestidos con la indumentaria donada por ella, cuántos fueron saciados por aquella diestra gloriosa, cuántos presos fueron honorados, no solo con una visita suya, sino también con el pleno perdón. Y, si hacer una visita a un preso procura el Reino, es evidente que liberarlo de la condena merece un honor mayor, si es que existe alguno superior al propio Reino.

Pero su alabanza no se limita a esto: va más allá de lo que está prescrito por sus buenas acciones. ¡Cuántos, gracias a ella, experimentaron en sus carnes mismas la gracia de la resurrección, aquellos que, muertos según las leyes y condenados a la pena capital, gracias a ella fueron nuevamente llamados a la vida! El testimonio de lo que digo lo tienes delante de los ojos. Has visto, cerca del altar, a un jovencito desesperar por la salvación, has visto a una mujercita llorar por la condena del hermano, has oído por quién comunicó a la asamblea las buenas noticias, cómo, gracias a la intercesión de la emperatriz, la funesta sentencia capital se cambió por vida. ¿Y es solo esto? ¿Y dónde pondremos la humildad, que la Sagrada Escritura considera superior a toda buena acción

inspirada en la virtud?

(488, 7) Ella, compartiendo junto al gran emperador tanta autoridad, por estar cualquier tipo de poder a él subyugado y serle tantos pueblos tributarios, aunque tanto la tierra como el mar le regalasen muchas de sus riquezas, no dio pie a la soberbia de penetrar en ella, mirando siempre hacia su interior, y no a su exterior. Por este motivo se convirtió en heredera de la santidad, por haber adquirido la verdadera grandeza mediante su extraordinaria humildad.

¿Tendría que dar pruebas de su amor conyugal? Cuando estaba a punto de disolverse la unión con su cuerpo, era improrrogable la necesidad de que los bienes valiosos, que pertenecían a la pareja, fueran repartidos. Y ella, ¿cómo organizó el reparto? Entre los hijos, que eran tres (ellos eran, por cierto, los bienes más valiosos), dejó a los varones en herencia al padre, de manera que llegasen a ser el baluarte del Imperio, y por su parte consideró que le tocaba tan solo la hija. ¡Mira cómo fue de conciliadora y afectuosa al ceder al marido la mayor parte de sus riquezas! Pero, por mi parte, resulta realmente adecuado decir esto, y, después de haberlo añadido, pondré fin a mi discurso.

(489, 5) La aversión por los ídolos es común para todos aquellos que comparten la fe, pero ella tuvo el mérito extraordinario de desacreditar la impiedad arriana al mismo nivel que la idolatría, ya que consideraba que quienes creen que el principio divino pertenece a lo creado no cometen menos impiedad que quienes idolatran a los elementos, y su juicio era recto y pío: pues, aquel que se arrodilla delante de lo creado, aunque lo haga en el nombre de Cristo, es un idólatra, que impone al ídolo el nombre de Cristo. Por esto, ella, una vez que hubo aprendido que no existe un dios reciente, se arrodillaba solo delante de la divinidad venerada en el Padre, en el Hijo y en el Espíritu Santo. Esta fue la fe en la que ella creció, en ella se hizo adulta, en ella "exhaló el espíritu", por ella "fue conducida al seno del padre de la fe Abraham, junto a la fuente del paraíso" (cuyo caudal no llega a los infieles) bajo la sombra del árbol de la vida, plantado junto

al manantial de las aguas, de las cuales podemos ser considerados dignos también nosotros en Cristo Jesús nuestro Señor. A Él la gloria por los siglos de los siglos. Amén.

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ
ΕΠΙΤΑΦΙΟΣ ΕΙΣ ΠΛΑΚΙΛΛΑΝ ΒΑΣΙΛΙΣΣΑΝ

Ὁ πιστὸς καὶ φρόνιμος οἰκονόμος (ἐκ γὰρ τῶν ἀνεγνωσμένων ἀπὸ τοῦ θείου εὐαγγελίου προοιμιάζομαι), ὃν κατέστησεν ὁ κύριος ἐπὶ τῆς οἰκετίας ταύτης τοῦ διδόναι ἐν καιρῷ τοῖς οἰκονομουμένοις τὸ σιτομέτριον, καλῶς ἐν τῷ πρὸ τούτου χρόνῳ καταδικάσας τὴν ἀφωνίαν τοῦ λόγου, καλῶς τοῦ μεγέθους τῆς συμφορᾶς ἐπαισθόμενος καὶ τιμήσας τῇ ἡσυχίᾳ τὸ πένθος, οὐκ οἶδ' ὅπως ἐν τῷ παρόντι συλλόγῳ πάλιν ἐπανάγει τῇ ἐκκλησίᾳ τὸν λόγον αὐτὸς ἀναλύων τὴν ἰδίαν κατὰ τοῦ λόγου ψῆφον· καίτοι γε σφόδρα θαυμάζων τῆς συνέσεως ἐν πολλοῖς τὸν διδάσκαλον ἐν τούτῳ μάλιστα πλέον ὑπερεθαύμασα ὡς καλῶς ἐν τῇ συμφορᾷ τὸν λόγον κατασιγάσαντα. προσφυὲς γάρ μοι δοκεῖ καὶ κατάλληλον εἶναι τοῖς πενθοῦσι φάρμακον ἡ σιγὴ τὸ διοιδοῦν τῆς ψυχῆς χρόνῳ καὶ κατηφείᾳ δι' ἡσυχίας ἐκπέττουσα. ὡς εἴ γέ τις ἔτι τὴν
880 M. ψυχὴν τοῦ πάθους ὑποθερμαίνοντος ἀνακινοίη τὸν λόγον,

3-6 cf Luc 12, 42 ~ Matth 24, 45 e memoria, ut vid, sed cf ex. gr. Euseb Praep ev XII 2, 5 (p 89,12 Mras) et Origen in Ier hom XI 3 (p 81, 13 Klostermann) 14-p 476, 14 cf Chrysipp ap Cic Tusc IV 29, 63; [Plut] Cons ad Apoll 1 (p 208, 13-17 Pat.-Wegeh.- Pohl.); Plin Ep V 16, 11; Sen Helv I 2 al

Titulus τοῦ αὐτοῦ εἰς πλακίλλαν O (om acc. acut.) K(πλάκ-) N εἰς τὴν μακαρίαν πλακίλλαν S (cf infra p 486, 4) τοῦ αὐτοῦ ἐπιτάφιος εἰς πλακιδίαν τὴν βασίλισσαν AP(-κίλλαν et om τὴν) Λ (-ίδαν, ut vid, corr in -ίλλαν Λ^2)

OKN S APΛ 3 καὶ φρόνιμος om APΛ (add in marg Λ^2) Tatian Diatessaron XLIII 2 (= T.'s Diat. aus dem Arab. übers. von Preuschen) 4 ὃν: ὁ O 5 οἰκίας SΛv var lect Matth Origen loc laud δοῦναι APΛ Matth 7 τῷ λόγῳ OKNSv var lect Sozom Hist eccl p 324, 17 (Bidez) ante καλῶς add ὁ OKNSv 10 τῆς ἐκκλησίας S (ut vid) Z 12 ταυτῶι KN (ἐν τούτωι add in marg N^2) μᾶλλον S πλέον delendum censet Langerbeck 16 ἐκπέμπουσα APΛ -πέπτ- v ἔτι: ἐπὶ Λ 17 ὑπερθερμ. Λ ἀνακοινοίη O (in -κεινν- corr m pr) Λ

δυσαλθέστερον τὸ τῆς λύπης τραῦμα γενήσεται τῇ μνήμῃ τῶν ἀλγεινῶν οἷόν τίσιν ἀκάνθαις ἐπιξαινόμενον. εἰ δὲ μὴ λίαν ἐστὶ τολμηρὸν κἀμέ τι τῶν τοῦ διδασκάλου προσδιορθώσασθαι, τάχα καλῶς ἔσχε μέχρι τοῦ νῦν κατακρατεῖν ἡμῶν τὴν ἡσυχίαν, ὡς ἂν μὴ πρὸς τὸ πάθος ὁ λόγος καθελκυσθεὶς τὴν ἀκοὴν ἀνιάσειεν. οὔπω γὰρ τοσοῦτος ὁ ἐν τῷ μέσῳ χρόνος ὥστε προσεθίσαι τῷ κακῷ τὴν διάνοιαν· ἔτι νέον ἐν τῇ ψυχῇ τὸ πάθος (τάχα δὲ καὶ ἀεὶ νέον ἔσται τῷ βίῳ τὸ ἄλγημα), ἔτι ταράσσεται ἡμῶν ἡ καρδία καὶ καθάπερ τις θάλασσα κυματουμένη τῇ λαίλαπι τῆς συμφορᾶς ἐκ βυθῶν ἀναστρέφεται, ἔτι διοιδοῦσιν οἱ λογισμοὶ πρὸς τὴν μνήμην τῶν κακῶν ἀναζέοντες. ἀστατούσης οὖν τῷ τοιούτῳ κλύδωνι τῆς ψυχῆς πῶς ἔστι προαγαγεῖν ἐπ' εὐθείας τὸν λόγον οἷόν τινι καταιγίδι τῷ πάθει τῆς λύπης ἐγχειμαζόμενον; ἀλλ' ἐπειδὴ χρὴ κελεύοντι πείθεσθαι, οὐκ οἶδα ὅπως τῷ λόγῳ χρήσομαι· οὐ γὰρ εὑρίσκω τῆς διανοίας τοῦ διδασκάλου καταστοχάσασθαι. ἢ τάχα βούλεταί τι καὶ τῷ πάθει χαρίσασθαι καὶ τοῖς ἐμπαθεστέροις τῶν λόγων ἀνακινῆσαι τῇ ἐκκλησίᾳ τὸ δάκρυον; καὶ εἰ ταῦτα διανοεῖται, ὀρθῶς κατά γε τὴν ἐμὴν κρίσιν καὶ τοῦτο ποιεῖ· δεῖ γὰρ πάντως, ὥσπερ τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν προθυμούμεθα, οὕτω καὶ πρὸς τὰ λυπηρὰ τῶν συμπιπτόντων οἰκείως ἔχειν· τοῦτο γὰρ καὶ ὁ Ἐκκλησιαστὴς συμβουλεύει· Καιρός, φησί, τοῦ γελάσαι καὶ καιρὸς τοῦ κλαῦσαι. μανθάνομεν γὰρ διὰ τούτων ὅτι δεῖ καταλλήλως τῷ ὑποκειμένῳ καὶ τὴν ψυχὴν διατίθεσθαι· κατὰ ῥοῦν τὰ πράγματα φέρεται; εὔκαιρον τὸ εὐφραίνεσθαι· μετέπεσε τὸ φαιδρὸν εἰς κατήφειαν; μεταβάλλειν προσήκει

6-7 cf Chrysipp ap Galen De plac Hipp et Plat IV (p 398, 5-13 Müller); [Plut] op laud 2 (p 208, 18) 9 cf Joh 14, 1 23-24 Eccles 3, 4

OKN S APΛ 1 γίνεται S (ut vid) Z 4 εἶχε APΛ 7 κακῷ: καλῷ v ἔτι νέον: ἐπεὶ πλέον APΛ (ut vid, corr Λ^2) 8 ante τῷ add ἐν APΛ 8-9 τῷ βίῳ τὸ ἄλγημα om S 9 καὶ coll ante τῇ λαίλ. (10) APΛ 11 ἀνατρέπεται APΛ 13 προσαγαγεῖν KNΛ^2 ἐπ' εὐθείας om APΛ (add in marg Λ^2) 14 πάθει: βάθει APΛ 16 (χρήσ)ο(μαι) fort ex ω corr in A 21 ante τὴν add εἰς APΛ, fort recte 22 γὰρ om APΛ 27 μεταβαλεῖν SAPΛ

καὶ τὴν εὐθυμίαν εἰς δάκρυον. ὥσπερ γὰρ ὁ γέλως σημεῖον τῆς ἔνδον φαιδρότητος γίνεται, οὕτω καὶ ὁ ἐν τῇ καρδίᾳ πόνος ὑπὸ τῶν θρήνων διερμηνεύεται καὶ γίνεται τῶν τῆς ψυχῆς τραυμάτων ὥσπερ αἷμα τὸ δάκρυον. τοῦτο καὶ ἡ Παροιμία Σολομῶντός φησιν ὅτι Καρδίας εὐφραινομένης πρόσωπον θάλλει, τῆς ψυχῆς δὲ ἐν λύπαις οὔσης σκυθρωπάζει. οὐκοῦν ἀνάγκη πᾶσα τῇ διαθέσει τῆς καρδίας συσκυθρωπάσαι τὸν λόγον. καὶ εἴθε δυνατὸν ἦν τοιούτους ἐξευρεῖν τινας λόγους, οἵους ὁ μέγας Ἱερεμίας τῇ συμφορᾷ ποτε τῶν Ἰσραηλιτῶν ἐπεθρήνησεν. ἐκείνων γὰρ ἄξια τὰ παρόντα μᾶλλον ἢ εἴ τι τῶν ἀρχαίων ἐν σκυθρωποῖς μνημονεύεται. χαλεπὰ τὰ τοῦ Ἰὼβ διηγήματα· ἀλλὰ τί χρὴ πρὸς τοσοῦτον κακὸν ἀντεξαγαγεῖν μιᾶς οἰκίας εὐαρίθμητα πάθη; κἂν τὰ μεγάλα καὶ κοινότερα τῶν κακῶν διεξέλθῃς, σεισμοὺς καὶ πολέμους καὶ ἐπικλύσεις καὶ χάσματα, μικρὰ καὶ ταῦτα εἰ πρὸς τὰ παρόντα κρίνοιτο. διὰ τί; ὅτι οὐ πάσης ἀθρόως τῆς οἰκουμένης ἡ κατὰ πόλεμον ἅπτεται συμφορά, ἀλλὰ τὸ μέν τι πολεμεῖται αὐτῆς, τὸ δὲ εἰρηνεύεται. μέρος τι πάλιν ἢ
881 M. σκηπτὸς ἐπέφλεξεν ἢ τὸ ὕδωρ ἐπέκλυσεν ἢ κατεπόθη τῷ χάσματι. τὸ δὲ παρὸν κακὸν πάσης ἀθρόως τῆς οἰκουμένης ἐστὶ πληγή· οὐκ ἔστιν ἔθνος ἓν ἢ πόλιν μίαν ἀπολοφύρασθαι, ἀλλ' ἁρμόζει τάχα τὴν τοῦ Ναβουχοδονοσὸρ προέσθαι φωνήν, ἣν πρὸς τοὺς ὑποχειρίους πεποίηται· Ὑμῖν λέγω, λαοί, φυλαί, γλῶσσαι. μᾶλλον δὲ συγχωρήσατέ μοι προσθεῖναί τι τῷ Ἀσσυρίῳ κηρύγματι καὶ μεγαλοφωνότερον

5-6 Prov 15, 13 23-24 Dan 3, 4 (sec vers Theodot)

OKN S APΛ 1 ἐπιθυμίαν A 2 ἔνδον om APΛ (sscr Λ^2) τῇ om SAPΛ 4 αἷμα coll post δάκρυον KN 5 ante σολ. add τοῦ APΛ 6 θάλλει πρόσωπον SΛ et ψυχῆς et οὔσης om SAPΛ 7 σκυθρωπάσαι APΛ (-ᾰ-, acc circumfl in acut corr Λ^2) 8 ἐξευρεῖν coll post τινὰς APΛ 12 ante τοῦ add περὶ APΛ τοῦτο v πρὸς τ.κ.: περὶ τοσούτων APΛ 13 κακὸν om S ἀντεξάγειν APΛ μιᾶς οἰκίας: μετοικίας PΛ μιᾶς fort sup ras in A, sed m pr 14 κακῶν: παθῶν APΛ 14-15 καὶ πολέμους om Λ 17 ἡ κ.π. ἅπτεται om S spatio 23 fere litt relicto πόλεμον: τοῦ πολέμου KN 18 τι: ἢ APΛ 21 μίαν πόλιν APΛ 22 προέσθαι APΛv πορεύεσθαι O 24 λαός v 25 καὶ om OKNSv

ἀνακηρῦξαι τὴν συμφορὰν καὶ εἰπεῖν, ὡς ἄν τις ἐπὶ σκηνῆς ἀναβοήσας εἴποι· ὦ πόλεις καὶ δῆμοι καὶ ἔθνη καὶ σύμπασα γῆ καὶ τῆς θαλάσσης ὅσον τε πλόϊμον καὶ ὅσον οἰκούμενον, ὦ πάσης τῆς καθ' ἡμᾶς οἰκουμένης ὅσον τῷ σκήπτρῳ τῆς βασιλείας εὐθύνεται, ὦ πάντες οἱ πανταχόθεν ἄνθρωποι, κοινῇ τῷ πάθει ἐπιστενάξατε, κοινῇ τοῦ θρήνου τὴν συνῳδίαν στήσασθε, κοινῇ τὴν πάντων ζημίαν ἀπολοφύρασθε. ἢ βούλεσθε, καθὼς ἂν οἷός τε ὦ, καὶ τὴν ζημίαν ὑμῖν διηγήσωμαι; ἤνεγκεν ἐν τῇ καθ' ἡμᾶς γενεᾷ ἡ ἀνθρωπίνη φύσις ἐκβᾶσα τοὺς ἰδίους ὅρους καὶ τὰ συνήθη μέτρα νικήσασα, ἤνεγκεν ἡ φύσις, μᾶλλον δὲ ὁ τῆς φύσεως κύριος, ἀνθρωπίνην ψυχὴν ἐν γυναικείῳ τῷ σώματι ὑπὲρ πάντα σχεδὸν τὰ προλαβόντα τῆς ἀρετῆς ὑποδείγματα, ἐν ᾗ πᾶσα μὲν σώματος πᾶσα δὲ ψυχῆς ἀρετὴ συνδραμοῦσα θαῦμα ἄπιστον ἔδειξε τῇ ἀνθρωπίνῃ ζωῇ, πόσων ἀγαθῶν συνδρομὴν μία ψυχὴ ἐν ἑνὶ ἐχώρησε σώματι. καὶ ὡς ἂν μάλιστα καταφανὲς ἅπασι γένοιτο τῆς γενεᾶς τὸ εὐτύχημα, ἐπὶ τὸν ὑψηλὸν θρόνον τῆς βασιλείας ἀνάγεται, ὅπως ἡλίου δίκην ἐκ τοῦ ὑψηλοῦ ἀξιώματος πᾶσαν τὴν οἰκουμένην ταῖς ἀκτῖσι τῶν ἀρετῶν καταλάμψειεν. καὶ τῷ κατὰ θείαν ψῆφον τῆς οἰκουμένης ἁπάσης προτεταγμένῳ εἰς βίου τε καὶ βασιλείας κοινωνίαν συναρμοσθεῖσα μακαριστὸν ἐποίει δι' ἑαυτῆς τὸ ὑπήκοον, ὄντως, καθὼς φησιν ἡ γραφή, βοηθὸς

2 sqq cf ex. gr. Aesch Pers 249 sqq; 1070 sqq 4-5 cf ibid 764 10 ἡ ἀνθρ. φύσις ἐκβᾶσα τ. ἰδ. ὅρους: verba alibi apud Gregorium semper fere ad ecstasin mysticam spectantia, cf ex. gr. In S. Steph I 713 B (Migne); De virg p 288, 4 (Jaeger); Contra Eun vol I (Jaeger) p 252, 3-5 23 sq cf Gen 2, 18

OKN S APΛ 3 τε om P τὸ Λ πλώϊμον N (e corr) v 5 ἰθύνεται APΛ 7 πάντων: τούτων S 8 ἢ om APΛ (inser $Λ^2$) 9 διηγήσωμαι OKv: διηγήσομαι K^2NSAPΛ 11 ἤνεγκεν om v 12 τῷ om S 14 ἐν—συνδραμοῦσα om APΛ (add in marg $Λ^2$) 16 συνδρομὴν: συνδραμοῦσα KN, sign var lect in marg, sed nihil adscript μιᾶ ψυχῇ O(-χη) K (corr K^2) N^2 (-ιᾶι corr ex -ία, sed (ψυχ)ῆι pr m scripsisse vid) v 18 ὅπου O 21 ἁπάσης om APΛ (in marg add $Λ^2$) 22 ποιήσει AP (super ει sscr η pr m, ut vid) Λ

αὐτῷ πρὸς πᾶν ἀγαθὸν γινομένη. εἰ φιλανθρωπίας ἦν ὁ καιρός, ἢ συνέτρεχεν αὐτῷ πρὸς τὸ ἀγαθὸν τοῦτο ἢ καὶ προέτρεχεν· ἴσος ἦν ὁ ζυγὸς ἑκατέρωθεν τῇ τῆς φιλανθρωπίας ῥοπῇ. μαρτυρεῖ δὲ τῷ λόγῳ τά τε πρότερα ἀριθμὸν νικῶντα καὶ τὰ ἐπὶ τοῦ παρόντος κηρύγματα, ἃ νῦν παρὰ τοῦ κήρυκος τῆς ἀληθείας ἠκούσαμεν. εἰ τὸ εὐσεβὲς ἐπιζητεῖς, κοινὸς ἦν ἀμφοτέρων ὁ πρὸς εὐσέβειαν δρόμος, εἰ τὸ προνοητικόν, εἰ τὸ δίκαιον, εἰ ἄλλο τι τῶν πρὸς τὸ κρεῖττον σπουδαζομένων, πάντα ἐν ἀμίλλῃ ἦν ἀλλήλους νικᾶν ἐν ταῖς εὐποιΐαις φιλονικούντων καὶ οὐκ ἦν ὁ ἡττώμενος. ἴση τις ἦν ἀμφοτέρων ἡ ἐπ' ἀλλήλοις χάρις· ἡ μὲν ἀρετῆς ἆθλον εἶχε τὸν τῆς οἰκουμένης προτεταγμένον, ὁ δὲ μικρὰν ἡγεῖτο γῆς τε καὶ θαλάττης τὴν ἐξουσίαν συγκρίσει τοῦ κατ' αὐτὴν εὐτυχήματος. ἴσας ἀλλήλοις ἀντιπαρεῖχον τὰς εὐφροσύνας ἀλλήλους τε βλέποντες καὶ ὑπ' ἀλλήλων ὁρώμενοι· ὁ μὲν τοιοῦτος ὢν οἷός ἐστι (ποῖον γάρ ἄν τις κάλλος ὑπὲρ τὸ φαινόμενον δείξειεν; καὶ εἴη γε διαρκέσαι καὶ εἰς ἐκγόνων ζωὴν τὸ ὁρώμενον), τὴν δέ, οἵα τις ἦν, οὐκ ἔστιν ὑποδεῖξαι τῷ λόγῳ· οὐ γὰρ περιλέλειπταί τι αὐτῆς δι' ἀκριβείας παρὰ τῆς τέχνης ὁμοίωμα, ἀλλ' εἰ καί τι γέγονεν ἐν γραφαῖς ἢ ἐν πλάσμασιν, πάντα τῆς ἀληθείας ἐστὶν ἐνδεέστερα.

884 M. Τοιαῦτα καὶ μέχρι τούτου τὰ διηγήματα. τὰ δὲ ἐπὶ τούτοις οἷα· πάλιν βοᾶν ἀναγκάζομαι καί μοι σύγγνωτε

1-6 cf infra p 487, 12 sqq; Theodoret 5, 19; Themist XIX 231 a; cf Themist I 9 a 5-6 impunitatem dicit, quam eodem die Theodosius alicui donavisse et lector (5-6) vel ipse Nectarius pronuntiavisse videtur (cf infra p 487, 25-488, 5)

OKN S APΛ 1 ante ἀγαθὸν add ἔργον P (cf II Cor 9, 8 et sim) 2 ἢ prim: εἰ OKN om APΛ 3 ἴσος NSP (e corr) Λv ἴσως OK (corr K²) 4 πρότερον OKNS ἀριθμῷ S 6 ἐπεζήτεις S 7 et ἀμφοτέρων om et ante εὐσέβ. add τὴν et ὁ coll ante δρόμος APΛ 8 εἰ alt: ἢ APΛ 9 ἐν ἀμ.: ἐφάμιλλα APΛ 10 φιλονικ. v: -νεικ- codd ἦν alt om v 11 ἐπάλληλος APΛ 13 θαλάσσης K 14 ἀλλήλους A (-λο)ι(ς) in ras P 16 post οἷός add τέ APΛ ἄν om OKNSv 17 δείξει Λ (-ε add Λ²) εἴη: εἴ O ἐγγόνων APΛ 18 τὴν: ἡ APΛ 19 ὑπολέλειπταί τι αὐτῇ δι' ἀκρίβειαν A (adscripto ση in marg) PΛ 20 τι καὶ APΛ 22 καὶ: μὲν APΛ 23 οἷας (sic) O

ὑπερβοῶντι τὸ πάθος· ὦ Θρᾴκη τὸ φευκτὸν ὄνομα, ὦ δυστυχὲς ἔθνος ἐκ συμφορῶν γνωριζόμενον, ὦ πρότερον μὲν πολεμίῳ πυρὶ ταῖς τῶν βαρβάρων ἐπιδρομαῖς δῃωθεῖσα, νῦν δὲ τὸ κεφάλαιον τῆς κοινῆς συμφορᾶς ἐν ἑαυτῇ δεξαμένη. ἐκεῖθεν τὸ ἀγαθὸν ἀναρπάζεται, ἐκεῖ ὁ φθόνος κατὰ τῆς βασιλείας ἐκώμασεν, ἐκεῖ γέγονεν τὸ τῆς οἰκουμένης ναυάγιον, ἐκεῖ καθάπερ ἐν κλύδωνι τῷ προβόλῳ προσπταίσαντες τῷ τῆς λύπης βυθῷ κατεδύημεν. ὦ πονηρᾶς ἐκδημίας ἐκείνης, ἣ τὴν ὑποστροφὴν οὐκ ἀπέδωκεν, ὦ πικρῶν ὑδάτων, ὧν τὰς πηγὰς ἐπεπόθησεν, ὡς οὐκ ὤφελεν, ὦ χωρίον, ἐν ᾧ τὸ πάθος ἐγένετο, διὰ τὸ πάθος τῇ σκοτομήνῃ ἐπώνυμον. (ἀκούω γὰρ κατὰ τὴν πάτριον αὐτῶν γλῶσσαν Σκοτούμην τὸν τόπον ἐπονομάζεσθαι.) ἐκεῖ ἐσκοτίσθη ὁ λύχνος, ἐκεῖ κατεσβέσθη τὸ φέγγος, ἐκεῖ αἱ ἀκτῖνες τῶν ἀρετῶν ἠμαυρώθησαν. οἴχεται τῆς βασιλείας τὸ ἐγκαλλώπισμα, τὸ τῆς δικαιοσύνης πηδάλιον, ἡ τῆς φιλανθρωπίας εἰκών, μᾶλλον δὲ αὐτὸ τὸ ἀρχέτυπον. ἀφῃρέθη τῆς φιλανδρίας ὁ τύπος, τὸ ἁγνὸν τῆς σωφροσύνης ἀνάθημα, ἡ εὐπρόσιτος σεμνότης, ἡ ἀκαταφρόνητος ἡμερότης, ἡ ὑψηλὴ ταπεινοφροσύνη, ἡ πεπαρρησιασμένη αἰδώς, ἡ σύμμικτος τῶν ἀγαθῶν ἁρμονία. οἴχεται ὁ τῆς πίστεως ζῆλος, ὁ τῆς ἐκκλησίας στῦλος, ὁ τῶν θυσιαστηρίων κόσμος, ὁ τῶν πενομένων πλοῦτος, ἡ πολυαρκὴς δεξιά, ὁ κοινὸς τῶν καταπονουμένων λιμήν. πενθείτω ἡ παρθενία, θρηνείτω ἡ χηρεία, ὀδυρέσθω ἡ ὀρφανία, γνώτωσαν τί εἶχον ὅτε οὐκ ἔχουσιν. μᾶλλον δὲ τί χρή με κατὰ μέρη καὶ τάξεις διαιρεῖν τὸν θρῆνον; στεναζέτω πᾶσα ἡ γενεὰ βύθιον ἐκ μέσης καρδίας τὸν στεναγμὸν

OKN S (post 26 θρῆνον deficit) **Z** (inde a 26 στεναζέτω pro S utor) **APΛ** 2 ante ἔθνος add χωρίον OKNSΛ² (in marg) v, scholion esse vid, cf infra 10 5 ἁρπάζεται APΛ (corr Λ²) φόνος AP (sscr θ m inc) Λ (corr Λ²) 10 ὧν: ὦ O ὤφειλεν OKNSv, an recte? ὤφελεν A (ut vid, ω in ο corr m inc) 11 ἐγένετο-πάθος om KN post πάθος alt add τάχα SAPΛ, an recte? 12 αὐτοῦ P γλῶτταν APΛ σκότουμιν OKNΛ² 14 αἱ om APΛ (sscr Λ²) ἀρετῶν: ἀγαθῶν Λ 17 τύπος: τόπος S 25 τί: τίνα APΛ

ἀναπέμπουσα. συμπενθείτω καὶ ἡ ἱερωσύνη αὐτὴ τὸν κοινὸν κόσμον τοῦ φθόνου ἀποσυλήσαντος. ἆρα μὴ τολμηρὸν τὸ τοῦ προφήτου εἰπεῖν; τὸ Ἵνα τί ἀπώσω, ὁ θεός, εἰς τέλος, καὶ διωργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου; ποίων ἁμαρτημάτων τὰς δίκας ἐκτιννύομεν; ὑπὲρ τίνος ταῖς ἐπαλλήλοις τῶν συμφορῶν μαστιζόμεθα; ἢ τάχα διὰ τὸ πλεονάσαι τὴν ἀσέβειαν τῶν ποικίλων αἱρέσεων αὕτη καθ' ἡμῶν ἡ ψῆφος ἐκράτησεν; ὁρᾶτε γὰρ οἵοις κακοῖς ἐν βραχεῖ συνηνέχθημεν χρόνῳ. οὕπω ἐπὶ τῇ προτέρᾳ πληγῇ ἀναπνεύσαντες, οὕπω τὸ δάκρυον τῶν ὀφθαλμῶν ἀποψήσαντες πάλιν ἐν τοσαύτῃ γεγόναμεν συμφορᾷ· τότε τὸ νεοθαλὲς ἄνθος ἀπωδυράμεθα, νῦν αὐτὸ τὸ ἔρνος, ἀφ' οὗ τὸ ἄνθος ἐβλάστησεν, τότε τὴν ἐλπισθεῖσαν ὥραν, νῦν τὴν ἀκμάσασαν, τότε τὸ προσδοκώμενον ἀγαθόν, νῦν τὸ ἐν πείρᾳ γενόμενον.

Ἀρά μοι συγγνώσεσθε, ἀδελφοί, εἴ τι διὰ τὸ πάθος παραληρήσαιμι; τάχα, καθώς φησιν ὁ ἀπόστολος, καὶ αὐτὴ ἡ κτίσις τῷ ἡμετέρῳ κακῷ συνεστέναξεν. ὑπομνήσω δὲ τῶν γεγονότων ὑμᾶς καὶ οἶμαι τοὺς πολλοὺς τοῖς λεγομένοις συνθήσεσθαι· ὅτε χρυσῷ καὶ πορφυρίδι κεκαλυμμένη ἐπὶ
885 M. τὴν πόλιν ἡ βασιλὶς ἐκομίζετο (κλίνη δὲ ἦν ἡ κομίζουσα) καὶ πᾶσα ἀξία καὶ ἡλικία πᾶσα προχεθεῖσα τοῦ ἄστεος ἅπαν ἐστενοχώρει ἀπὸ πλήθους τὸ ὕπαιθρον πάντων ἐκ ποδῶν καὶ τῶν ὑπερεχόντων τοῖς ἀξιώμασι προπομπευόντων

3-4 Ps 73, 1 9-14 mortem Pulcheriae dicit 17 cf Rom 8, 22 19 sqq corpus Flacillae e Thracia Constantinopolim translatum est 23 scil Theodosium et Arcadium, ut vid

OKN Z APΛ 1 ἡ om KN 2 φθόνου: κόσμου Z 3 et εἰπεῖν coll post τολμ. et τὸ om APΛ 4 διωργίσθη: διατί (sic) ὠργίσθη ZA(διὰ τί) PΛ καὶ om LXX ὠργίσθη LXX 5 ἐκτίνομεν APΛ τίνων Λ 6 ἐπαλλήλαις KN τῶν συμφορῶν: συμφοραῖς APΛ 7 αὐτη (sic) Ov(-ἡ) 8 ἡ ψῆφος coll post ἐκράτησεν APΛ 9-10 ἀνανεύσαντες APΛ (corr Λ^2) 12 ἀπωδυράμεθα O (-οδυ·ρ-) K (ω corr ex o) NZv: ἀπωδυρόμεθα A (ut vid, o in α corr m inc) PΛ (-οδυρόμ- in -οδυράμ- corr Λ^2) 12 ἐβλάσθησεν (sic) v 16 παραχρήσαιμι APΛ (ut vid, corr Λ^2) 16 αὕτη P, sed cf Rom 8, 21 21 προχεθ. codd v 22 ἅπαν ἐστ.: ἀπεστενοχώρει APΛ (corr Λ^2)v ἀπὸ: διὰ APΛv ante πλήθους add τοῦ ZAPΛv an recte? 23 ποδῶν: παιδὸς APΛ

τοῦ πάθους (μέμνησθε πάντως ὅπως ὁ ἥλιος ταῖς νεφέλαις τὰς ἀκτῖνας ἑαυτοῦ συνεκάλυψεν, ὡς ἂν μὴ ἴδοι τάχα καθαρῷ τῷ φωτὶ μετὰ τοιούτου σχήματος εἰσελαύνουσαν τὴν βασιλίδα τῇ πόλει, οὐκ ἐπὶ ἅρματός τινος ἢ χρυσοδέτου ἀπήνης κατὰ τὸν βασίλειον κόσμον τοῖς δορυφόροις ἀγαλλομένην, ἀλλ' ἐν σορῷ κεκαλυμμένην, ἐπικρυπτομένην τὸ εἶδος ἐκείνῳ τῷ σκυθρωπῷ προκαλύμματι, θέαμα δεινόν τε καὶ ἐλεεινόν, δακρύων ἀφορμὴν προκειμένην τοῖς ἐντυγχάνουσιν, ἣν ἅπας τῶν συνειλεγμένων ὁ δῆμος ὁ ἔπηλύς τε καὶ ὁ ἐγχώριος οὐκ εὐφημίαις, ἀλλὰ θρήνοις εἰσιοῦσαν ἐδέχετο), τότε καὶ ὁ ἀὴρ πενθικῶς ἐσκυθρώπασεν οἷον ἱμάτιόν τι πενθικὸν τὸν ζόφον περιβαλλόμενος, ἀλλὰ καὶ αἱ νεφέλαι καθὼς δυνατὸν αὐταῖς ἦν ἐπεδάκρυον ἁπαλὰς ψεκάδας ἀντὶ δακρύων ἐπαφιεῖσαι τῷ πάθει. ἢ ταῦτα μὲν ὄντως λῆρός ἐστι καὶ οὐδὲ λέγειν ἄξιον; εἰ γάρ τι καὶ γέγονεν ἐν τῇ κτίσει τοιοῦτον οἷον ἐπισημῆναι τὴν συμφοράν, οὐ παρὰ τῆς κτίσεως γέγονε πάντως, ἀλλὰ παρὰ τοῦ δεσπότου τῆς κτίσεως τιμῶντος δι' ὧν ἐποίει τῆς ὁσίας τὸν θάνατον· Τίμιος γάρ, φησίν, ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. εἶδον δὲ ἐγὼ τότε ἕτερον θέαμα τῶν εἰρημένων παραδοξότερον· εἶδον διπλοῦν ὄμβρον τὸν μὲν ἐκ τοῦ ἀέρος τὸν δὲ ἐκ τῶν δακρύων ἐπὶ τὴν γῆν καταρρέοντα καὶ οὐκ ἦν ὁ ἐξ ὀφθαλμῶν ὑετὸς τοῦ ἐκ τῶν νεφῶν ἐνδεέστερος· ἐν γὰρ τοσαύταις μυριάσι τῶν συμπαρόντων οὐκ ἦν ὀφθαλμὸς ὁ μὴ καταβρέχων τὴν γῆν ταῖς τῶν δακρύων σταγόσιν.

Ἀλλ' οὐ καλῶς τάχα τῆς τοῦ διδασκάλου γνώμης ἐστοχασάμεθα πλέον ἢ ἔδει τοῖς σκυθρωποῖς ἐμβαθύναντες.

18-19 Ps 115, 6

OKN Z ΑΡΛ 3 ante τοιούτου add τοῦ Z 5 βασίλειον: τῶν βασιλέων ΑΡΛ 6 ἐκείνωι K (sscr acc. circumfl. et o m inc): ἐκεῖνο cett v 8 ἀφορμὴ προκειμένη ΑΡΛv 9 ὁ prim coll post ἅπας ΑΡΛ ὁ δῆμος om v ὁ tert om P (sscr m inc) 10 ὁ om P 11 πένθιμον ΑΡΛ 12 περιβαλόμενος N² (sscripto βαλό super βαλλό) A (eraso, ut vid, λ primo) 12-13 αὐταῖς δυνατὸν ΑΡΛ 13 ἀπεδάκρυον Λ (corr Λ²) 14 ἢ codd, ad ἆρα p 009, 15 respicere vid: ἤ v, fort recte 15 ἐν om ΑΡΛ 19-20 ἐγὼ τότε: ἔγωγε ΑΡΛ (corr Λ²) τὴν γῆν om N

ἴσως γὰρ βούλεται θεραπεῦσαι μᾶλλον ἢ ἀνιᾶσαι τὴν ἀκοήν, ἡμεῖς δὲ τὸ ἐναντίον νῦν πεποιήκαμεν, ὥσπερ ἂν εἴ τις ἰατρὸς τραυματίαν λαβὼν μὴ μόνον ἀμελοίη τῆς θεραπείας, ἀλλὰ καὶ βρωτικοῖς τισι φαρμάκοις προσεπιτρίβοι τὸν ὀδυνώμενον. οὐκοῦν ἐπαντλητέον τὸν ἐλαιώδη λόγον τῇ διοιδούσῃ πληγῇ· οἶδε γὰρ καὶ ἡ εὐαγγελικὴ ἰατρεία τῇ στύψει τοῦ οἴνου καταμιγνύειν τὸ ἔλαιον. ἐπικλίνωμεν οὖν ὑμῖν παρὰ τῆς γραφῆς λαβόντες τὸν τοῦ ἐλαίου καμψάκην, ὡς ἐστι δυνατόν, τὸ σκυθρωπὸν τῶν εἰρημένων εἰς παραμυθίαν παλινῳδήσαντες. ἀλλά μοι μηδεὶς ἀπιστείτω τῷ λεγομένῳ κἂν παράδοξον ᾖ· ἔστιν, ἀδελφοί, τὸ ἀγαθὸν ὃ ζητοῦμεν, ἔστι καὶ οὐκ ἀπόλωλεν. μᾶλλον δὲ μικρότερον εἶπον τῆς ἀληθείας· οὐ μόνον γὰρ ἔστι τὸ ἀγαθόν, ἀλλὰ καὶ ἐν ὑψηλοτέροις ἢ πρότερον. τὴν βασιλίδα ζητεῖς; ἐν τοῖς βασιλείοις τὴν διαγωγὴν ἔχει. 888 M. ἀλλ' ὀφθαλμῷ γνῶναι τοῦτο ποθεῖς; οὐκ ἔξεστί σοι βασιλίδος θέαν περιεργάζεσθαι, φοβερὰ περὶ αὐτὴν ἡ τῶν δορυφόρων φρουρά, οὐ τούτων λέγω τῶν δορυφόρων οἷς σίδηρος τὸ ὅπλον ἐστίν, ἀλλὰ τῶν τῇ φλογίνῃ ῥομφαίᾳ καθωπλισμένων ὧν τὸ εἶδος ἀνθρώπων ὄψις οὐχ ὑποδέχεται. ἐν τοῖς ἀπορρήτοις τῆς βασιλείας ἡ οἴκησις· τότε ὄψει ὅταν καὶ σὺ προκύψῃς

6-7 cf Luc 10, 34; Marc 6, 13; Iac 5, 14 8 cf III Regn 17, 12 18 cf Gen 3, 24 19 cf Dan 8, 16-18; Is 6, 1 sqq; Ezech 1, 1 sqq 19-22 cf ex. gr. In Cant p 368, 7-369, 13 (Jaeger)

ΟΚΝ Z ΑΡΛ 1 βούλεται: δύναται ΑΡΛ 2 νῦν om Λ 3 τραυματίαν λαβὼν: τραῦμά τι ἀναλαβὼν ΡΛ (corr Λ^2) 4 βρωτικοῖς: ῥωστικοῖς ΑΡΛ προσεπιτρίβει Z ὀδυρώμενον Λ 6 τοῦ οἴνου om ΑΡΛ (sscr Λ^2) 7 καταμηνύειν ΑΡΛ τὸ: τὸν NP ἐπικλίνομεν A (corr m alt) ΡΛ 8 καψάκην ΑΡΛ (sscr μ Λ^2) LXX (var lect -μψ-) Origenis recensio (var lect -μψ-) ὡς ἐστι: ὥσπέρ τι (sic) ΑΡΛ (corr Λ^2) 10 post ᾖ add τί οὖν ἐστι τὸ λεγόμενον ΑΡΛ 11 ἔστι alt om ΑΡΛ 15 τοῦτο γνῶναι ΖΑΡΛ 16 δορυφόρων: δακρύων ΚΝ (γρ ἢ φυλάκων ἢ δορυφόρων marg adscr m prim, ut vid) 17 φρουρά — δορυφόρων om et eorum loco πληθύς et post οἷς suppl οὐ ΑΡΛ (in marg add οὐ-δορυφ. et in textu eras οὐ Λ^2) 19 ὄψεις v τοῖς: οἷς ΑΡΛv 19-20 ἀπόρρητος ΑΡΛ 20 οἴκησις: παράστασις ΑΡΛ προκύψῃς (η ex ει corr K^2, sup ras N m pr): προπεμφθῆς ΑΡΛ

VNIVERSITAS STVDIORVM NEOMESIENSIS SEMINARIVM CLASSICAE PHILOLOGIAE

τοῦ σώματος, οὐ γὰρ ἔστιν ἄλλως ἐντὸς τῶν ἀδύτων τῆς βασιλείας γενέσθαι μὴ διασχόντα τὸ τῆς σαρκὸς παραπέτασμα.

*Η κρεῖττον οἴει τὸ διὰ σαρκὸς μετέχειν τοῦ βίου; οὐκοῦν παιδευσάτω σε ὁ θεῖος ἀπόστολος ὁ τῶν ἀρρήτων τοῦ παραδείσου μετεσχηκὼς μυστηρίων. τί λέγει περὶ τῆς ὧδε ζωῆς τάχα ἐκ τοῦ κοινοῦ τῶν ἀνθρώπων φθεγγόμενος; Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἀπὸ τοῦ σώματος τοῦ θανάτου τούτου; διὰ τί τοῦτο λέγει; ὅτι Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ κρεῖττον εἶναί φησιν. τί δὲ ὁ μέγας Δαυὶδ ὁ τοσαύτῃ δυναστείᾳ κομῶν ὁ πάντα πρὸς ἡδονὴν καὶ κατ' ἐξουσίαν εἰς ἀπόλαυσιν ἔχων; οὐ στενοχωρεῖται τῷ βίῳ; οὐ φυλακὴν ὀνομάζει τὴν ὧδε ζωήν; οὐ βοᾷ πρὸς τὸν κύριον· Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου; οὐ πρὸς τὴν παράτασιν τῆς ζωῆς δυσχεραίνει Οἴμοι, λέγων, ὅτι ἡ παροικία μου ἐμακρύνθη; ἢ οὐκ ᾔδεισαν διακρῖναι οἱ ἅγιοι τὸ καλὸν ἐκ τοῦ χείρονος καὶ διὰ τοῦτο προτιμοτέραν ᾤοντο τῇ ψυχῇ τὴν ἀπὸ τοῦ σώματος ἔξοδον; σὺ δε τί καλόν, εἰπέ μοι, παρὰ τὸν βίον ὁρᾷς; κατανόησον ἐν τίσιν ἡ ζωὴ θεωρεῖται. οὐ λέγω σοι τὴν τοῦ προφήτου φωνὴν ὅτι Πᾶσα σὰρξ χόρτος· σεμνύνει γὰρ ἐκεῖνος μᾶλλον τῷ ὑποδείγματι τὴν τῆς φύσεως ἡμῶν ἀθλιότητα· τάχα γὰρ κρεῖττον ἦν χόρτον εἶναι μᾶλλον ἢ ὅπερ ἐστίν· διὰ τί; ὅτι οὐδεμίαν ὁ χόρτος ἐκ φύσεως ἀηδίαν ἔχει, ἡ δὲ σὰρξ ἡμῶν ὀσμῆς ἐστιν ἐργαστήριον ἅπαν τὸ ληφθὲν εἰς διαφθορὰν ἀχρειοῦσα.

1-2 hic de morte (cf etiam In Pulch p 472, 13-15), alibi semper fere de contemplatione mystica, cf imprimis Vit Moys ex. gr. p 88, 21; 97, 10 sqq et passim; In inscr Psal p 41, 18; In Cant p 40, 5-12 (Jaeger) 2 cf Hebr 10, 20 et adn In Mel p 454, 8 4-5 II Cor 12, 2-4 7-8 Rom 7, 24 8-9 Phil 1, 23 12 Ps 141, 8 14-15 Ps 119, 5 19 Is 40, 6

OKN Z ΑΡΛ 1 ἔνδον ΑΡΛ 3 ἢ: εἰ KN 7 post ἐγώ add φησιν Z ἀπὸ: ἐκ ΑΡΛ, scil sec Rom 7, 24 9 εἶναι alter om ΑΡΛ (add in marg Λ^2) v 10 πάντα: πᾶν τὸ ΑΡΛ 11 καὶ om ΑΡΛ 14 τὴν παράτασιν τῆς ζωῆς: τὰ πέρατα τοῦ βίου τούτου ΑΡΛ λέγων: φησὶν ΑΡΛ 15 παροιμία v 18 παρὰ: κατὰ ΑΡΛ 21 ἡμῶν om OKNv, fort recte 22 ὁ χόρτος om OKN (asterisc in marg) 24 ληφθὲν: λαμβανόμενον ΑΡΛ

τὸ δὲ τὸν ἅπαντα χρόνον ὑποκεῖσθαι τῇ τῆς γαστρὸς λειτουργίᾳ ποίας τιμωρίας οὐκ ἔστιν ἀνιαρώτερον; ὁρᾶτε γὰρ τοῦτον τὸν διηνεκῆ φορολόγον, τὴν γαστέρα λέγω, ὅσην ἐπάγει καθ' ἡμέραν τὴν ἀνάγκην τῆς ἐπαιτήσεως, ᾧ κἄν ποτε πλέον τοῦ τεταγμένου προκαταβάλωμεν, οὐδὲν τοῦ ἐφεξῆς χρέους προεξετίσαμεν. οὐ καθ' ὁμοιότητα τῶν ἐν τῷ μυλῶνι ταλαιπωρούντων ζῴων κεκαλυμμένοις τοῖς ὀφθαλμοῖς τὴν τοῦ βίου μύλην περιερχόμεθα ἀεὶ διὰ τῶν ὁμοίων περιχωροῦντες καὶ ἐπὶ τὰ αὐτὰ ἀναστρέφοντες; εἶπω σοι τὴν κυκλικὴν ταύτην περίοδον; ὄρεξις, κόρος, ὕπνος, ἐγρήγορσις, κένωσις, πλήρωσις· ἀεὶ ἀπ' ἐκείνων ταῦτα καὶ ἀπὸ τούτων ἐκεῖνα καὶ πάλιν ταῦτα καὶ οὐδέποτε κύκλῳ περιϊόντες παυόμεθα, ἕως ἂν ἔξω τοῦ μυλῶνος γενώμεθα. καλῶς ὁ Σολομὼν πίθον τετρημένον καὶ οἶκον ἀλλότριον ὀνομάζει τὸν ὧδε βίον. ὄντως γὰρ ἀλλότριος οἶκος καὶ οὐχ ἡμέτερος, ὅτι οὐκ ἐφ' ἡμῖν
889 M. ἐστιν ἢ ὅτε βουλόμεθα ἢ ἐφ' ὅσον ἐπιποθοῦμεν ἐν αὐτῷ εἶναι· ἀλλὰ καὶ εἰσαγόμεθα ὡς οὐκ οἴδαμεν καὶ ἐξοικιζόμεθα ὅτε οὐκ οἴδαμεν. τὸ δὲ τοῦ πίθου αἴνιγμα νοήσεις ἐὰν εἰς τὸ ἀπλήρωτον τῶν ἐπιθυμιῶν ἀποβλέψῃς. ὁρᾷς πῶς ἐπαντλοῦσιν ἑαυτοῖς οἱ ἄνθρωποι τὰς τιμάς, τὰς δυναστείας, τὰς δόξας καὶ πάντα τὰ τοιαῦτα; ἀλλ' ὑπορρεῖ τὸ βαλλόμενον καὶ οὐ παραμένει τῷ ἔχοντι· ἡ μὲν γὰρ περὶ τὴν δόξαν καὶ τὴν δυναστείαν καὶ τὴν τιμὴν σπουδὴ πάντοτε ἐνεργεῖται, ὁ δὲ τῆς ἐπιθυμίας πίθος μένει ἀπλήρωτος. τί δὲ ἡ φιλοχρηματία;

1-6 cf Basil De ieiunio hom I PG 31 p 176 A-B; 184 A (Migne) Plat Phaed 66b-c 6-13 cf Plut Sept sap conv 12 (p 327, 16 sqq Paton) 13-14 cf Prov 23, 27 17-p 486, 3 cf illud 'εἰς τὸν τετρημένον πίθον ἀντλεῖν' et Plat Gorg 493 a-c

OKN Z APΛ 3 φθοροποιόν APΛ 4 τὴν om APΛ 5 προσκαταβ. Z προκαταλάβωμεν P (corr m inc) 6 οὐ om OKNΛ² (eras) v, i.e. sententia non iam interrogativa est, an recte? μύλωνι codd v 12 περιόντες P (sscr ι m inc) 13 post ἔξω add ποτὲ APΛ μύλωνος codd v 14 ὧδε: τῆδε Λ 15 οὐκ: οὐχ Λ 16 ἐφ' om APΛ ἐπιθυμοῦμεν APΛ 17 post εἰσαγόμεθα add καὶ ἐξαγόμεθα K (postea inser m inc) N, e coniectura, nam: 17-18 καὶ alt -οἴδαμεν om OKN 18 τὸ δὲ: τότε δὲ τὸ APΛ

οὐκ ἀληθῶς πίθος τετρημένος ἐστὶν ὅλῳ τῷ πυθμένι ῥέων ᾧ κἂν πᾶσαν ἐπαντλήσῃς τὴν θάλασσαν πληρωθῆναι φύσιν οὐκ ἔχει;

Τί οὖν λυπηρὸν εἰ τῶν τοῦ βίου κακῶν ἡ μακαρία κεχώρισται καὶ ὥσπερ τινὰ λήμην τὸν τοῦ σώματος ῥύπον ἀποβαλοῦσα καθαρᾷ τῇ ψυχῇ πρὸς τὴν ἀκήρατον ζωὴν μετανίσταται, ἐν ᾗ ἀπάτη οὐ πολιτεύεται, διαβολὴ οὐ πιστεύεται, κολακεία χώραν οὐκ ἔχει, ψεῦδος οὐ καταμίγνυται, ἡδονή τε καὶ λύπη καὶ φόβος καὶ θράσος καὶ πενία καὶ πλοῦτος καὶ δουλεία καὶ κυριότης καὶ πᾶσα ἡ τοιαύτη τοῦ βίου ἀνωμαλία ὡς πορρωτάτω τῆς ζωῆς ἐκείνης ἐξώρισται; Ἀπέδρα ἐκεῖθεν, καθώς φησιν ὁ προφήτης, ὀδύνη καὶ λύπη καὶ στεναγμός. ἀντὶ δὲ τούτων τί; ἀπάθεια, μακαριότης, κακοῦ παντὸς ἀλλοτρίωσις, ἀγγέλων ὁμιλία, τῶν ἀοράτων θεωρία, θεοῦ μετουσία, εὐφροσύνη τέλος οὐκ ἔχουσα. ἆρ' οὖν λυπεῖσθαι προσήκει περὶ τῆς βασιλίδος μαθόντας οἷα ἀνθ' οἵων ἠλλάξατο; κατέλιπε βασιλείαν γηΐνην, ἀλλὰ τὴν οὐράνιον κατέλαβεν· ἀπέθετο τὸν ἐκ λίθων στέφανον, ἀλλὰ τὸν τῆς δόξης περιεθή-

7-13 et supra p 485, 19 sqq, cf ex. gr. De an et res 56 A-C; De hom opif XVIII 192 B 4-6 cf Plat Phaed 66d-67b: ῥυπὸς τοῦ σώματος, λήμη cf ib 67 a; 69 c; Plot Enn I, 6, 5 e fonte neoplatonico fluxisse vid, cf Porph De regressu animae ap J. Bidez, Vie de Porphyre (1913) p 40*, 14-17 (= Aug De civ Dei 10, 30) cf ex. gr. Vit Moys p 53, 8; De beatit VI 1272 A-B (Migne); De virg p 299, 20-300, 5 (Jaeger): quae nostro loco de morte, locis laudatis alibique semper fere de contemplatione mystica dicuntur eodem fructu utrique attributo 11-13 Is 35, 10; 51, 11 13-16 cf Rom 14, 17 (εἰρήνη, χαρά); cf ex. gr. In Eccles p 372, 3 (ἀπάθεια, μακαριότης); De hom opif V 137 B (καθαρότης, ἀπάθεια, μακαριότης, κακοῦ παντὸς ἀλλοτρίωσις); De beatit VI 1272 C; ἀγγέλων ὁμιλία: cf ex. gr. In Eccles p 386, 18; De beatit V 1257 D; τῶν ἀοράτων θεωρία: cf ex. gr. Vit Moys p 88, 21; In Cant p 181, 5; θεοῦ μετουσία: cf ex. gr. In Cant p 181, 3 (Jaeger); De an et res 105 B-C (Migne); εὐφροσύνη: cf ex. gr. In inscr Psal p 35, 16 17 cf Matth 3, 2 et sim 18 cf I Petr 5, 4

OKN Z APΛ 4 κακῶν: λυπηρῶν Λ ἡ μακαρία om APΛ (in marg add Λ^2) 6 μεθίσταται APΛ 7 διαβολὴ οὐ πιστεύεται om Λ 9 θάρσος OKN (θράσος sscr man inc) 15 ἆρ': τί APΛ

κατο· ἀπεδύσατο τὴν πορφυρίδα, ἀλλὰ Χριστὸν ἐνεδύσατο. τοῦτό ἐστι τὸ βασιλικὸν ὄντως καὶ τίμιον ἔνδυμα. τὴν ὧδε πορφύραν ἀκούω αἵματι κόχλου τινὸς θαλασσίας φοινίσσεσθαι, τὴν δὲ ἄνω πορφύραν τὸ τοῦ Χριστοῦ αἷμα λάμπειν ποιεῖ· εἶδες ὅσον ἐν τῷ ἐνδύματι τὸ διάφορον. βούλει πεισθῆναι ὅτι ἐν ἐκείνοις ἐστίν; ἀνάγνωθι τὸ εὐαγγέλιον· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου (φησὶ ταῦτα πρὸς τοὺς δεξιοὺς ὁ κριτής), κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν· τὴν παρὰ τίνος ἡτοιμασμένην; ἣν ἑαυτοῖς, φησί, διὰ τῶν ἔργων προητοιμάσασθε. πῶς; ἐπείνων, ἐδίψων, ξένος ἤμην, γυμνός, ἀσθενής, ἐν φυλακῇ· Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. εἰ οὖν ἡ περὶ ταῦτα σπουδὴ βασιλείας πρόξενος γίνεται, ἀριθμήσατε, εἴπερ δυνατόν ἐστιν ἐξαριθμήσασθαι, πόσοι τοῖς ἐνδύμασι τοῖς παρ' αὐτῆς ἐσκεπάσθησαν, πόσοι τῇ μεγάλῃ ἐκείνῃ δεξιᾷ διετράφησαν, πόσοι τῶν κατακλείστων οὐκ ἐπισκέψεως μόνον, ἀλλὰ καὶ παντελοῦς ἀφέσεως ἠξιώθησαν. εἰ δὲ τὸ ἐπισκέψασθαι τὸν κατάκλειστον προξενεῖ βασιλείαν, τὸ ἐλευθερῶσαι τῆς τιμωρίας δηλαδὴ πλείονος τιμῆς ἄξιον, εἴπερ τι βασιλείας ἔστιν ἀνώτερον. ἀλλ' οὐ μέχρι τούτων ἐστὶν ἐκείνης ὁ ἔπαινος. παρέρχεται γὰρ καὶ τὰ προστεταγ-
892 M. μένα τοῖς κατορθώμασιν. πόσοι δι' ἐκείνην τὴν τῆς ἀναστάσεως χάριν ἐφ' ἑαυτῶν ἐγνώρισαν, οἳ τοῖς νόμοις ἀποθανόντες καὶ τὴν ἐπὶ θανάτῳ ψῆφον δεξάμενοι πάλιν δι' αὐτῆς εἰς τὴν ζωὴν ἀνεκλήθησαν. ἐν ὀφθαλμοῖς τῶν εἰρημένων ἡ μαρτυρία.

1 cf Rom 13, 14; Gal 3, 27 4 cf Apoc 7, 14 6-8 Matth 25, 34 10-11 cf Matth 25, 35-36 11-12 Matth 25, 40 14-25 cf supra ad p 479, 1 sqq

OKN Z APΛ 3 θαλαττίας N θαλασσίου Z 6 post ἀνάγνωθι add μοι APΛ 10 προητοιμάσατε OKNv 10 ante πῶς add καὶ APΛ 11 ante γυμνὸς add καὶ Λ 13 ἀριθμήσασθε APΛ (corr Λ^2) 15 ἐσκεπάθησαν (sic) v 17 παντελῶς Z 19 τιμῆς πλείονος Λ 20 εἴπερ τι: εἰπέ τι APΛ 21 ἐστιν: ἔστη maluit Langerbeck (cf interpr Latin 'hic consistit') post τὰ add μὴ APΛ(eras Λ^2) 22 ἐκείνης Λ, cf 24, fort recte 23 ἔγνωσαν APΛ οἱ O (sed acc. saepe om) APΛ (corr Λ^2) 25 καρτερία Z (sscr μ et τυ Z^2)

εἶδες παρὰ τὸ θυσιαστήριον ἀπογνὸν τὴν σωτηρίαν μειράκιον, εἶδες γύναιον ἐπὶ κατακρίσει ἀδελφοῦ ὀδυρόμενον, ἤκουσας τοῦ τὰ ἀγαθὰ τῇ ἐκκλησίᾳ κηρύσσοντος, ὅπως τῇ μνήμῃ τῆς βασιλίδος ἡ σκυθρωπὴ τοῦ θανάτου ψῆφος εἰς ζωὴν ἀναλύεται. ἆρα καὶ μόνον ταῦτα; τὴν δὲ ταπεινοφροσύνην ποῦ θήσομεν ἣν προτιμοτέραν ἡ γραφὴ ποιεῖται παντὸς τοῦ κατ' ἀρετὴν κατορθώματος; ἥτις συνηνιοχοῦσα τῷ μεγάλῳ βασιλεῖ τὴν τοσαύτην ἀρχὴν πάσης δυναστείας ὑποκυπτούσης, τοσούτων ἐθνῶν ὑποτελούντων, γῆς τε καὶ θαλάττης ἐκ τῶν οἰκείων ἑκατέρας δωροφορούσης οὐκ ἔδωκε πάροδον καθ' ἑαυτῆς τῷ τύφῳ ἀεὶ πρὸς ἑαυτὴν οὐκ εἰς τὰ ἔξω ἑαυτῆς ἀποβλέπουσα. διὰ τοῦτο τοῦ μακαρισμοῦ γίνεται κληρονόμος διὰ τῆς προσκαίρου ταπεινοφροσύνης τὸ ἀληθινὸν ὕψος ἐμπορευσαμένη. εἶπω τι καὶ τῆς φιλανδρίας τεκμήριον; ἔδει πάντως διαλυομένης τῆς σωματικῆς συζυγίας καὶ τὰ τίμια τῶν προσόντων αὐτοῖς ἀγαθῶν ἐλθεῖν εἰς διαίρεσιν. πῶς οὖν ἐποιήσατο τὴν διανομήν; τριῶν ὄντων τέκνων (ταῦτα γὰρ τῶν ἀγαθῶν τὰ κεφάλαια) τοὺς ἄρρενας τῷ πατρὶ προσκατέλιπεν, ὥστε εἶναι αὐτοὺς τῆς βασιλείας

1-5 cf supra ad p 479, 5-6 5-7 cf Matth 18, 4 et sim 11-12 cf Rom 7, 22-23 et Socraticum illud 'γνῶθι σεαυτόν' et ex. gr. De mort p 40, 1-5, ubi cum illo hoc coniungitur 12-14 cf Luc 14, 11 et sim 14 an ex Iac 4, 13 (cf ibid 4, 10)? 17-18 scil Arcadium Pulcheriam Honorium

OKN Z APΛ 1 ἀπογνὸν scripsi: ἀπογνόντα OK(in marg σημ et asterisc) N(ut vid, in ἀπογνόν τὰ corr vid m inc sub -γνο- scr ης, quid sibi velit, nescio. in marg σῃ) Zv, an recte, ut inconcinnitate verbum ἀπογνόντα a forma neutri praecedente (θυσιαστ.) distinguatur? τῆς σωτηρίας N (e corr, cf supra) ἀπογν.-μειράκιον: ἐκ τῶν μειρακίων APΛ 2 ἤκουσας om v 3 post μνήμῃ una litt eras in O 4 ἡ om Λ 5 διαλύεται KN μόνα APΛ 9 ὑποκρυπτούσης A (ut vid, post κ una litt eras) P (ut vid, post κ una litt eras) Λ(ἀπο-) τοιούτων OKNZv 10 θαλάσσης APΛ 10 δωροφορούσης N (sscr ο et υ m pr, ut vid): δορυ- cett v 11 πάροδον om v 14 τι om APΛ (sscr Λ²) 16 αὐτῆς OKNv ἐλθεῖν sup ras K om Z (sscr vid m inc, sed evan) 18 ante τέκνων add τῶν Z ἀγαθῶν: ἀρετῶν ZAPΛ post τοὺς add μὲν APΛ, cf δὲ infr p 489, 1 19 αὐτοὺς Z: αὐτοῦ OKNv om APΛ

ἐρείσματα, τῆς δὲ ἰδίας μερίδος μόνην τὴν θυγατέρα πεποίηται. ὁρᾷς πῶς εὐγνώμων τε καὶ φιλόστοργος ἐν τοῖς τιμίοις τὸ πλέον τῷ ἀνδρὶ συγχωρήσασα.

Ἀλλ' ὃ μάλιστα παρ' ἡμῶν λέγεσθαι χρὴ τοῦτο προσθεὶς καταπαύσω τὸν λόγον. τὸ τῶν εἰδώλων μῖσος κοινὸν πάντων ἐστὶ τῶν μετεχόντων τῆς πίστεως, ἀλλ' ἐκείνης ἐξαίρετον τὸ τὴν Ἀρειανὴν ἀπιστίαν ὁμοίως τῇ εἰδωλολατρίᾳ βδελύττεσθαι. τοὺς γὰρ ἐν τῇ κτίσει τὸ θεῖον εἶναι νομίζοντας οὐδὲν ἔλαττον ἀσεβεῖν ᾠετο τῶν εἰδωλοποιούντων τὰς ὕλας, καλῶς καὶ εὐσεβῶς τοῦτο κρίνουσα· ὁ γὰρ τὸ κτίσμα προσκυνῶν, κἂν ἐπ' ὀνόματι τοῦ Χριστοῦ τοῦτο ποιῇ, εἰδωλολάτρης ἐστὶ Χριστὸν ὄνομα τῷ εἰδώλῳ τιθέμενος. διὰ τοῦτο μαθοῦσα ὅτι οὐκ ἔστι θεὸς πρόσφατος, μίαν προσεκύνει θεότητα τὴν ἐν πατρὶ καὶ υἱῷ καὶ πνεύματι ἁγίῳ δοξαζομένην. ταύτῃ ἐνηυξήθη τῇ πίστει, ταύτῃ ἐνήκμασεν, ταύτῃ τὸ πνεῦμα παρακατέθετο, ὑπὸ ταύτης προσήχθη τῷ κόλπῳ τοῦ πατρὸς τῆς πίστεως Ἀβραὰμ παρὰ τὴν τοῦ παραδείσου πηγὴν (ἧς ἡ ῥανὶς ἐπὶ τοὺς ἀπίστους οὐκ ἔρχεται), ὑπὸ τὴν σκιὰν τοῦ ξύλου τῆς ζωῆς τοῦ πεφυτευμένου παρὰ τὰς διεξόδους τῶν

1 scil Pulcheriam, cf supr p 481, 9 sqq 4 sqq cf Sozom 7, 6, 3; Ambros De obitu Theodos 40, 6 (Faller) 8-12 cf Rom 1, 25; cf ex. gr. Contra Eun II (Jaeger) p 357, 16-358, 6; 187, 16-188, 3 et sqq; 107, 10 sqq 9 cf Sap 13, 2 13 cf Ps 80, 10 15 cf II Cor 10, 15 et Col 1, 10 15-16 cf Luc 23, 46 16 cf Luc 16, 22; cf ex. gr. Gal 3, 7 17 cf Gen 2, 10 et ex. gr. In Eccles p 333, 15 sq (Jaeger) 18-19 ξύλον τῆς ζωῆς cf Gen 2, 9; 3, 22; cf Apoc 22, 2 et ex. gr. In Cant p 119, 3; 348, 12 sqq (Jaeger)

OKN Z APΛ 1 ἀποπεποίηται v 2 γνώμων N (cf praef p 428) εὐγνωμόνως et φιλοστόργως et post συγχ. add φαίνεται APΛ 4 λέγεσθαι: δέχεσθαι Z 5 ante τῶν add κατὰ APΛ 7 (ἀρεια)-ν(ὴν) sscr ικ P (m inc) -ικὴν Λ^2 (ην eras) εἰδωλολατρεία OP (ut vid, ει eras et in ι corr m inc) v 9 ἐλάττονα σέβειν O (corr O^2)KNZv 11 τοῦ om APΛ ποιεῖ O (corr O^2) Z (corr Z^2) v 11-12 εἰδωλολατρία Z 12 χριστοῦ Zv τιθέμενος scripsi: θέμενος codd v 13 ante θεὸς add ὁ Z 14 τὴν om APΛ καὶ πνεύματι ἁγίῳ om P, sed retinendum, cf ex. gr. De inst Christ p 42, 5-12 (Jaeger) ἁγίῳ πν. ZAΛ 15 ταύτῃ ἐνήκμασεν om Z 19 (τ)οῦ (πεφυτευμέν)ου ex -ῶν -ων corr vid P

ὑδάτων ὧν καὶ ἡμεῖς ἀξιωθείημεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

1 ὕδατα cf Apoc 22, 1; Joh 4, 14 et sim

OKN Z APΛ 2 post δόξα add καὶ τὸ κράτος καὶ ἡ προσκύνησις σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι APΛ, fort recte, sed de formis doxologiae, quae sint Gregorii, quae scribarum, certo diiudicari adhuc non potest τῶν αἰώνων om Ov sub fine εἰς τὴν πλακίλλαν O εἰς πλακιδίαν τὴν βασίλισσαν ἐπιτάφιος A

COMENTARIO

(475, 3-11) ὁ πιστὸς καὶ φρόνιμος - ψῆφον

El proemio de la oración para Flaccilla empieza solemne al ser dirigido a una emperatriz, en una sucesión de oraciones amplia y compleja dividida por un punto alto. En la primera secuencia, observamos que al enunciado nominal del íncipit le sigue entre paréntesis una oración autónoma (en la cual el verbo προοιμιάζομαι desvela claramente el apartado de la oración en la cual nos encontramos), seguida, mediante asíndeton, por una oración de relativo (ὃν… τὸ σιτομέτριον) que contiene a su vez un infinitivo nominal (τοῦ διδόναι) con valor final. A estas le siguen tres oraciones participiales adjetivas (dos coordinadas por asíndeton y una por polisíndeton) introducidas por el adverbio καλῶς —repetido en dos ocasiones— y cerradas por la oración principal (οὐκ οἶδ' ὅπως…συλλόγῳ) coordinada por asíndeton a la otra principal (πάλιν…ψῆφον), la cual contiene en su interior una participial adjetiva (ἀναλύων). En la segunda secuencia (καίτοι…κατασιγάντα), aparecen dos oraciones participiales, con un participio presente (θαυμάζων) y uno aoristo (κατασιγάντα), ambos vinculados al indicativo aoristo (ὑπερεθαύμασα). Cabe destacar la *variatio* nisena en la utilización del participio presente y, sucesivamente, del indicativo aoristo. Mientras la primera oración es una participial introductoria a la principal, la segunda presenta un matiz declarativo, al estar introducida por la partícula ὡς. Además, la separación entre las dos oraciones es marcada vigorosamente por la preposición ὑπέρ como prefijo del verbo θαυμάζω por un lado, y, por el otro, reforzada por el comparativo πλέον, el cual, en este caso, constituye una forma tardía de superlativo, al estar precedido por el adverbial μάλιστα (véase Blass - Debrunner 1965, 152-154). A nivel léxico, este proemio da fe, indiscutiblemente, de la influencia de las palabras del Evangelio. El autor mismo lo reconoce

públicamente en la línea 2 (ἀπὸ τοῦ θείου εὐαγγελίου); como hace notar el editor Spira en el aparato crítico, el autor se refiere claramente a *Lc.*, 12, 42 (τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος ὁ φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ τοῦ διδόναι ἐν καιρῷ [τὸ] σιτομέτριον) y a *Mt.*, 24, 45 (τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος ὃν κατέστησεν ὁ κύριος ἐπὶ τῆς οἰκετείας αὐτοῦ τοῦ δοῦναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ). Gregorio pues, como podemos observar al comparar la versión de los dos Evangelios, realiza una brillante síntesis retórica entre los dos pasos, adaptándola a la contingencia presente, a la finalidad de la oración, declamar la inconmensurable desgracia acaecida (τοῦ μεγέθους τῆς συμφορᾶς) al Imperio y a sus habitantes (τοῖς οἰκονομουμένοις). Este último término, de hecho, es una elegante variación del αὐτοῖς de la versión de *Lc.*, 12, 42. Orígenes también, al hacer la exégesis de este fragmento en su *Comentario al Evangelio de Juan* (XX, 2, 7 [p. 87]), realiza algo idéntico, sustituyendo el lema con el vocablo σύνδουλος (τίς ἄρα ἐστὶν ὁ πιστὸς καὶ φρόνιμος οἰκονόμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς οἰκετείας αὐτοῦ, τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον τοῖς συνδούλοις ἑαυτοῦ) al igual que él mismo hace en sus *Homilías sobre Jeremías* (XI, 3, 13-15 [p. 81]): τίς ἄρα ἐστὶν ὁ πιστὸς καὶ φρόνιμος, ὃν καταστήσει ὁ κύριος αὐτοῦ ἐπὶ τῆς οἰκίας αὐτοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον τοῖς δούλοις ἑαυτοῦ. De la misma manera Eusebio en su *Praeparatio evangelica* (XII, 2, 5 [l. 12, p. 89]). Por lo que concierne a la identificación del señor (ὁ κύριος), del administrador (οἰκονόμος) y del maestro (διδάσκαλος), Gregorio, con el primer apelativo, hace veladamente referencia a Teodosio, mientras que con los otros dos adjetivos se refiere claramente a Nectario. El verbo καθίστημι (l. 2) constituiría pues la clave interpretativa de este paso. El autor hace referencia a la elección de Nectario —el cual venía a sustituir al Nacianceno, que había renunciado— y a que había sido propuesto por el mismo emperador como patriarca de Constantinopla. No obstante, Gregorio parece dar una interpretación muy personal de este acontecimiento, ya que, si se compara la

información proporcionada por Gregorio con la de Sócrates (*Hist. eccl.*, V, 12 [p. 280]), el pueblo eligió a Nectario (ἁρπασθεὶς ὑπὸ τοῦ λαοῦ) y su elección fue ratificada por un concilio de ciento cincuenta obispos allí presentes (τῶν τότε παρόντων ἑκατὸν πεντήκοντα ἐπίσκόπων χειροτονησάντων αὐτόν). Sin embargo, el niseno parece referirse a la historia contada por Sozomeno (*Hist. eccl.*, VII, 8 [p. 310]), según la cual Diodoro, obispo de Tarso, persuadió a Melecio, en aquel entonces obispo de Antioquía todavía, para que incluyera a Nectario en la lista de posibles candidatos a presentar al emperador. El emperador le escogió como obispo de Constantinopla sin estar bautizado todavía, siendo así pues consagrado obispo llevando puesta todavía su bata de neófito. Este, originario de una familia senatorial de Tarso, fue pretor en Constantinopla mientras que aquí se llevaba a cabo el primer concilio (381). Su elección por parte de Teodosio parece no haber causado ningún revuelo entre los otros candidatos (Holum 1982, 18; Simonetti 1975, 535). Siendo patriarca de Constantinopla, bajo orden, presumiblemente, del mismo emperador, ordena que se imponga el luto oficial por la muerte de la emperatriz (καταδικάσας τὴν ἀφωνίαν τοῦ λόγου - τὸν λόγον κατασιγάντα), roto, no obstante, por la celebración del discurso durante las exequias de la soberana.

(475, 14 - 476, 14) προσφυὲς γάρ - ἐγχειμαζόμενον

Gregorio recurre, como queda también anotado en el aparato crítico (p. 475), a un tópico de la tradición clásica, mejor dicho estoica, sobre la *consolatio*. Este es introducido por una oración condicional de tipo potencial (εἰ + optativo en la prótasis / ἄν + optativo en la apódosis) que, aunque respete la estructura clásica en la prótasis, no lo hace en la apódosis. De hecho (véase Blass - Debrunner 1965, 233-235; Basile 2001, 748), el griego tardío ya no utiliza (véase comentario epitafio para Melecio, p. 79) el optativo en la apódosis, sino el modo

θαυματουργίαν κοινῇ τῇ φωνῇ καὶ συντεταγμένῃ λύσιν αὐτοῖς ἐξ ἀμηχάνων γενέσθαι τῆς συμφορᾶς αἰτησάμενοι. καὶ οἱ μὲν ηὔχοντο· ἡ δὲ εὐχὴ παραχρῆμα ἔργον ἐγίνετο. ἔτι γὰρ αὐτῶν τῇ γονυκλισίᾳ προσκαρτερούντων πνεύματι βιαίῳ νεφέλη ποθὲν ὑπολῃφθεῖσα μετέωρος ὑπὲρ τὸ τῶν πολεμίων στρατόπεδον ἵστατο· εἶτα βροντὰς ἐξαισίους ἐπικτυπήσασα καὶ ἀστραπὰς φλογώδεις κατὰ τῶν ὑποκειμένων ἐξάψασα κατερρήγνυεν ὕδωρ ποταμῶν ἀφθονώτερον, ὥστε τοῖς μὲν ὑπεναντίοις καὶ τῶν σκηπτῶν τὴν συνέχειαν καὶ τὸ πλῆθος τῆς ἐπομβρίας αἴτιον γενέσθαι παντελοῦς καταφθορᾶς, τούτοις δὲ τοῖς διὰ τῶν εὐχῶν παραταξαμένοις ἱκανὸν πρὸς ἀμφότερα γενέσθαι, πρός τε τὴν νίκην τῶν ἀντιτεταγμένων καὶ πρὸς τὴν παραμυθίαν τῆς δίψης τῆς τῶν χειμάρρων ἀπορροῆς ἀφθόνως αὐτοῖς τὸ ποτὸν χορηγούσης. τούτοις τοίνυν συνετάχθη ὁ ἡμέτερος τῆς στρατιᾶς χορός, ἀπ' ἐκείνων τῶν διηγημάτων καὶ αὐτοὶ περὶ τὴν πίστιν ῥωσθέντες καὶ τοῖς ὁμοίοις ἐντραφέντες ἐπιτηδεύμασιν εἰς τοσοῦτον μεγαλοφυΐας ἐπήρθησαν, ὥστε τῷ περιόντι τῆς ἀρετῆς καθ' ἑαυτῶν ἀναστῆσαι τὸν φθόνον. καθάπερ γὰρ ἐπὶ τῶν νῦν ὑπαναγνωσθέντων ἡμῖν ἐκ τῆς τοῦ Ἰὼβ ἱστορίας ἐμάθομεν, ὅτι ἀδίκημα ἑαυτοῦ ἐποιεῖτο ὁ ἀντίπαλος τῆς ἀνθρωπίνης ζωῆς τὴν τοῦ Ἰὼβ εὐδοκίμησιν καὶ διὰ τοῦτο ἐξητεῖτο πρὸς αἰκισμόν, ὅτι ἐλύπει αὐτὸν ὁ Ἰὼβ ἀληθινὸς καὶ δίκαιος καὶ ἄμεμπτος ὤν. τὸν αὐτὸν τρόπον εἶδε πονηρῷ τῷ ὀφθαλμῷ ὁ τοῖς ἀγαθοῖς ἐπιφυόμενος τοὺς μεγάλους τούτους ἀγωνιστὰς καὶ οὐκ ἤνεγκε πολιὰν ἠθῶν ἐν ἡλικίας νεότητι βλέπων. εἶδε σωμάτων ἄνθος ἐν σωφροσύνῃ κοσμούμενον· εἶδεν ἐνόπλιόν τινα χοροστασίαν, διὰ τῆς στρατιᾶς αὐτοὺς τῷ θεῷ χορεύοντας, καλοὺς προσιδεῖν, βλοσυροὺς τὸ ὄμμα, γαῦρον τὸ φρόνημα, τάχος ποδῶν, περιουσίαν δυνάμεως, συμμετρίαν μελῶν, ἐν πᾶσι τοῖς προσοῦσιν αὐτοῖς προτερήμασι τὴν τῆς ψυχῆς ἀρετὴν τῆς σωματικῆς εὐκληρίας ὑπεραστράπτουσαν. ἐμπεριπατεῖ καὶ δι' ἐκείνων τῷ φθόνῳ ὁ ἐμπεριπατῶν τὴν οἰκουμένην. εἶδεν οὐχ ἕνα ἄνθρωπον ἀληθινόν, ἀλλὰ σύστημα

28sqq cf Iob 1,7sqq; 2,1sqq

OMDΛV^{a}S 1 θαυματουργίαν coll post προφήτου (146,26) ΛV^{a} συντεταμμένῃ Λ συντεταμένῃ S 3 γονυκλισίᾳ: δεήσει OMD 4 ἀπολῃφθεῖσα OM^{1} (corr M^{2}) Dv 6 ὑποκτυπήσασα S 9 post δὲ add χορηγὸς Λ 12 τὸν πότον OMDv τοίνυν: νῦν V^{a} 13 συνετάχθησαν S στρατείας V^{a} 14 ῥωσθέντες: κυρωθέντες Λv 16 γὰρ om Λ 17 τῆς om ΛV^{a} 18 ἐποίει OMv ἀντίπαλος: ἀντικείμενος ΛV^{a} 19 ἐζητεῖτο Λ ἐξαιτεῖται V^{a}S 20 καὶ ante δίκαιος om D 21 ἴδεν V^{a} 22 ἐν ἡλικίᾳ νεότητος V^{a} 23 ἴδε (bis) ΛV^{a} ἔνοπλον S ὅπλων V^{a} 24 post τῆς add αὐτοῦ S αὐτοὺς om S αὐτοῦ V^{a} 25 βλοσσυροὺς V^{a} γαύρους Λv 28 ἐμπεριπατῶν: ἐμ expunx ut vid M^{2} 29 τῇ οἰκουμένῃ S εἶχεν O ἴδεν V^{a} 29-148,1 ἀληθινόν — πάντων om O ἀλλὰ — ἀληθινῶν om S

θεῖον τοσούτων ἀνθρώπων, πάντων ἀληθινῶν δικαίων θεοσεβῶν· ἐξαιτεῖται κἀκείνους εἰς τὸ ἴδιον βούλημα. καὶ πρῶτον μὲν εἰδωλομανοῦντι τῷ τῆς στρατιᾶς ἄρχοντι σύμβουλος γίνεται, μὴ ἂν ἄλλως ὑπερσχεῖν τῆς κατὰ τῶν βαρβάρων νίκης, εἰ μὴ τοὺς τὸ ὄνομα τοῦ Χριστοῦ προσκυνοῦντας προθύσαιτο.

'Αναδειχθέντων δὲ τούτων ὡς τάχιστα διὰ τῆς ἀγαθῆς ὁμολογίας καὶ αὐτομολούντων πρὸς τὴν διὰ τοῦ πάθους τελείωσιν τὸ μὲν εὐθὺς ἐπαγαγεῖν τὸν διὰ τοῦ ξίφους θάνατον ὥς τι φιλάνθρωπον ὁ ἐχθρὸς
761 M. παρῃτήσατο, δεσμοῖς δὲ τοῖς ἐκ σιδήρου καταπιέσας ταύτην ἐποιεῖτο τὴν τῆς τιμωρίας ἀρχήν. τοῖς δὲ ἦν ἄρα καὶ ὁ δεσμὸς ἐγκαλλώπισμα καὶ θέαμα γλαφυρὸν καὶ ἡδὺ Χριστιανῶν ὀφθαλμοῖς· νεότης ἐξειλεγμένη ἀριθμῷ τοσούτῳ, κάλλει διαπρεπής, ἡλικίᾳ ὑπὲρ τοὺς ἄλλους, πάντες κατὰ ταὐτὸν μετ' ἀλλήλων τῷ δεσμῷ συνηρμόζοντο, ὥσπερ τις στέφανος ἢ ὅρμος περιαυχένιος ἰσομεγέθεις μαργαρίτας ἐν κύκλῳ διειλημμένους ἔχων· τοιοῦτοι ἦσαν οἱ ἅγιοι καὶ διὰ πίστεως ἡνωμένοι καὶ διὰ τῶν δεσμῶν πρὸς ἀλλήλους σφιγγόμενοι. ὄντες γὰρ καὶ καθ' ἑαυτὸν ἕκαστος καλοὶ προσθήκη τοῦ κάλλους ἀλλήλοις ἐγίνοντο. οἷον ἐπὶ τῶν οὐρανίων συμβαίνει θαυμάτων, ὅταν δι' αἰθρίας καθαρᾶς ἡ τῶν ἀστέρων χάρις δι' ἀλλήλων ποικίλληται ἑκάστου τὴν οἰκείαν αἴγλην εἰς τὸν κοινὸν κόσμον τοῦ οὐρανοῦ συνεισφέροντος, τοιοῦτον ἦν τῶν ἁγίων τὸ θέαμα, ὄντως, καθὼς φησί που 'Ιεζεκιὴλ ὁ προφήτης, Ὅρασις λαμπάδων συστρεφομένων. ἐμφιλοχωρεῖ ὁ λόγος τῷ κάλλει τῆς ὥρας. οἶδεν γάρ, καθὼς ἡ σοφία φησίν, 'Εκ μεγέθους καὶ καλλονῆς κτισμάτων καὶ τὸ ἐν κρυπτῷ κάλλος ἀναλογίζεσθαι, ἐπειδὴ καὶ ἡ τῆς ψυχῆς καθαρότης διὰ τοῦ φαινομένου διέλαμπε καὶ ὁ φαινόμενος ἄνθρωπος ἄξιον ἦν τοῦ ἀφανοῦς οἰκητήριον. ὡς καλὸν τοίνυν ἦν τότε τοῖς ὁρῶσι τὸ θέαμα, καλὸν λέγω τοῖς τὰ καλὰ βλέπειν ἐθέλουσι,

---

22 Ez 1,13 23-24 Sap 13,5

OMDΛV^{a}S 1 ἀληθινῶν mut in ἀληθινὸν, δικαίων in δίκαιον et in marg post δικαίων (δίκαιον) add ἀλλὰ τὸ σύστ(ημα) O^{2} δίκαιον θεοσεβῆς S 2 ἴδιον: θεῖον Λ μὲν om V^{a} 3 τηστρατιᾶς O στρατείας V^{a} ὑπερέχειν Λ 4 ante τῆς add τῇ Λ 7 τὸ: τοῦ M 9 δεσμὸς V^{a} σιδήρων Λ κατασπήσας V^{a} 10 τὴν om D 12 κάλλει διαπρεπής om O διαπρεπεῖ Λ 13 κατ' αὐτῶν V^{a} τ' αὐτὸ Λ τὸ αὐτὸ S 14 ὅρμος: ὁρμίσκος S διηλειμμένους Λ 15 καὶ διὰ — ἡνωμένοι om V^{a} 16 ὄντως V^{a} 17 καλὴ V^{a} post οἷον add γὰρ S 18 post αἰθρίας add καὶ OMv 18-19 τῶν ἀστέρων ἡ S 19 χάρις: χορία V^{a} ποικίλληται V^{a} ποικίλλεται Λ 20 συνεισφέροντες V^{a} 21 που φησὶν ΛV^{a} 22 post ὅρασις add ἦν S 23 καὶ om Λ 26 τοίνυν coll ante τότε Λ om V^{a} 27 τοῖς pr: τοὺς O^{1} (corr O^{2}) τὰ om V^{a}

καλὸν ἀγγέλοις, καλὸν ταῖς ὑπερκοσμίοις δυνάμεσι, πικρὸν δὲ τοῖς δαίμοσι καὶ ὅσοι τὰ τῶν δαιμόνων ἠσπάζοντο· ἄνθρωποι, εἴπερ ἄνθρωποι οἱ τοσοῦτον ἀνεστηκότες τῷ μεγαλείῳ τῆς φύσεως, στρατιῶται Χριστοῦ, τοῦ ἁγίου πνεύματος ὁπλῖται, τῆς πίστεως πρόμαχοι, πύργοι τῆς θείας πόλεως· οἳ πᾶσαν αἰκισμῶν τιμωρίαν, πᾶσαν φόβων ἐπανάστασιν, πᾶσαν ἀπειλῆς προσβολὴν ὥς τινα παιδίων ἄνοιαν κατεχλεύαζον, καθάπερ οὐχὶ τὰ σώματα ταῖς αἰκίαις ἐκδόντες, ἀλλὰ τὰς τῶν σωμάτων σκιάς· οἳ σαρκὶ τὴν σάρκα καταπαλαίσαντες καὶ τῇ πρὸς τὸν θάνατον ὑπεροφίᾳ πάντων τῶν τυραννικῶν φόβων ὑπερφρονήσαντες ὑψηλότεροι τῶν ἀνθρωπίνων μέτρων ἐδείχθησαν. ὧ καλῶς τοῖς σωματικοῖς τροπαίοις ἐμμελετήσαντες· ὧ καλῶς μετενεγκόντες τὴν τοῦ πολεμεῖν ἐμπειρίαν εἰς τὴν κατὰ τοῦ διαβόλου παράταξιν οὐ ξίφει τὰς χεῖρας ὁπλίσαντες οὐδὲ τὸν ἐκ τοῦ ξύλου θυρεὸν προβαλλόμενοι οὐδὲ χαλκῇ περικεφαλαίᾳ καὶ κνημῖσι περιφραξάμενοι, ἀλλὰ τὴν τοῦ θεοῦ πανοπλίαν ἀναλαβόντες, ἣν διαγράφει ὁ στρατηγὸς τῆς ἐκκλησίας, ὁ θεῖος ἀπόστολος, θυρεὸν καὶ θώρακα καὶ περικεφαλαίαν καὶ μάχαιραν· οὕτως ἐχώρουν κατὰ τῆς ἐναντίας δυνάμεως. ἐστρατήγει δὲ τούτων μὲν ἡ οὐρανία χάρις, τῆς δὲ τοῦ διαβόλου παρατάξεως ὁ ἔχων τοῦ θανάτου τὸ κράτος. τόπος δὲ τῆς παρατάξεως αὐτοῖς τὸ τῶν μιαιφόνων δικαστήριον ἦν· ἐν ἐκείνῳ συστάντες διηγωνίζοντο, οἱ μὲν ἀπειλαῖς ἀκροβολιζόμενοι, οἱ δὲ διὰ τῆς ὑπομονῆς ἀμυνόμενοι.

Πρότασις ἦν παρὰ τῶν ὑπεναντίων, ἐξόμνυσθαι τὴν εἰς τὸν κύριον πίστιν ἢ ζημιοῦσθαι θανάτῳ. ἀπόκρισις παρὰ τῶν ἀριστέων, μέχρι θανάτου παραμένειν τῷ λόγῳ. πῦρ ἐπὶ τούτοις ἠπείλητο καὶ ξίφος καὶ βάραθρον καὶ ὅσα ἄλλα τῶν κολαστηρίων ὀνόματα. μία φωνὴ πρὸς ταῦτα πάντα ἠκούετο Χριστὸς ἐν τοῖς στόμασι τῶν ἁγίων ὁμολογούμενος. αὕτη ἦν ἡ τῶν ἐναντίων πληγή, ταύτην προέτεινον κατὰ τοῦ 764 M.

15-16 cf Eph 6,11sq

OMDΛV^{a}S 1 ὑπερκοσμίαις OΛv 2 post καὶ add τοῖς S post εἴπερ add ἄρα S 4 ante Χριστοῦ add τοῦ Ov 5 φόβον O^{1} (corr O^{2}) V^{a} 6 παιδίαν O^{1} (corr O^{2}) παίδων S καταχλευάζον O^{1} (corr O^{2}) 8 σκιάς: αἰκίας S οἱ ἄσαρκοι τῇ σαρκὶ καταπατήσαντες S καταπαλέσαντες O καταπατήσαντες ΛV^{a}S 9 τῶν om ΛV^{a} φόβον V^{a} 10 ὧ: οἱ ΛV^{a} ὧ καλῶς periit S 11 τροπαίοις om Λ τρόποις V^{a} ὧ: οἱ ΛV^{a} 12 ἐμπειρίαν — κατὰ τοῦ periit S τὰς periit S 13 προβα]λλόμενοι periit S οὐ]δὲ periit S 13-14 οὐδὲ — περιφραξάμενοι om OMD 14 χαλκῇ periit S om V^{a} πε]ρικεφαλαίᾳ periit S κνήμεσι ΛV^{a}v φραξάμενοι S 15 διαγρά]φει ὁ periit S ὁ pr om V^{a} 16 θεῖος om Λ 18 ἡ om Λ 18-19 ὁ ἔχων — παρατάξεως om V^{a} 20 ἐν: ἐπ' S 21 οἱ δὲ — ἀμυνόμενοι om V^{a} 23 ἀποκρίσεις Λ 25 ante ὀνόματα add τὰ V^{a} 26 πάντα ταῦτα ΛV^{a} 27 τῶν ἐναντίων: τούτων V^{a}

ἐχθροῦ τὴν αἰχμήν, διὰ ταύτης τῆς φωνῆς μέσην ἐτρώθη τὴν καρδίαν ὁ ἀντικείμενος, οὗτος ὁ λίθος ἐστὶν ὁ ἐν τῇ χειρὶ τοῦ Δαβὶδ σφενδονούμενος ὁ τυχὼν τῆς περικεφαλαίας τοῦ ἀντικειμένου. ἡ γὰρ τοῦ Χριστοῦ ὁμολογία σφενδόνη γίνεται τοῦ καλοῦ στρατιώτου· πίπτει ὁ ἐχθρὸς καὶ ἀκέφαλος γίνεται. ἀλλὰ παρηνέχθη ἀφηνιάσας ὁ λόγος καὶ ὑπὲρ τοὺς ὅρους ἐξάλλεται καὶ τῶν ἀρρήτων κατατολμᾷ καὶ λέγειν προάγεται, ὡσπερεὶ θεατὴς τῶν ἀοράτων γενόμενος, ὅτι ἐπὶ τῇ τοιαύτῃ φωνῇ τῇ τὸν Χριστὸν ἐν παρρησίᾳ ὁμολογούσῃ κρότος μὲν ἦν ἄνω καὶ ἔπαινος, εὐφημία δὲ τῶν πολιτῶν τῆς οὐρανίας πόλεως ἐπικροτούντων τῷ κατορθώματι, χαρὰ δὲ πάσης τῆς ἐν οὐρανῷ πανηγύρεως. οἷον γὰρ συνέστη τότε τοῖς ἀγγέλοις ἐν τῷ κόσμῳ τῶν ἀνθρώπων τὸ θέατρον· οἵαν εἶδον συμπλοκὴν τοῦ διαβόλου καὶ τῶν ἀνθρώπων οἱ θεαταὶ τῆς ἡμετέρας ζωῆς· ὡς ἀπεναντίον τῇ πρώτῃ πάλῃ τὴν σύστασιν ἔσχεν, ὅτε ὁ ὄφις τὸν Ἀδὰμ κατεπάλαισεν. οὐκ ἤνεγκε τότε ὁ ἄνθρωπος μίαν τοῦ πονηροῦ προσβολὴν διά τινος εὐχροίας καὶ δελεάσματος αὐτῷ προσαχθεῖσαν, ἀλλ' ὁμοῦ τε προσέπεσε καὶ ἀνετράπη τῷ πτώματι. ἐπὶ τούτων δὲ πάντα ἦν ἀργὰ καὶ ἄπρακτα τοῦ ἐχθροῦ τὰ παλαίσματα. ἐλπίδας προέτεινεν, οἱ δὲ κατεπάτουν· φόβους ἠπείλει, οἱ δὲ κατεγέλων. ἓν φοβερὸν ἦν μόνον αὐτοῖς τὸ τοῦ Χριστοῦ χωρισθῆναι· ἓν ἀγαθὸν τὸ μετὰ Χριστοῦ εἶναι μόνου· τὰ δὲ ἄλλα πάντα γέλως καὶ σκιὰ καὶ φλυαρία καὶ ὀνειρώδη φαντάσματα. διὰ ταῦτα κατατολμᾷ τῶν ἀθεάτων ὁ λόγος καί φησιν ἐπαγάλλεσθαι πᾶσαν τὴν ὑπερκόσμιον δύναμιν τῷ τῶν ἀθλητῶν κατορθώματι. ἔτι ὁ λόγος κατὰ τῶν ἀτολμήτων θρασύνεται, ἔτι τολμᾷ διηγεῖσθαι τὰ ὑπερκόσμια, ὅτι τούτων ἐνταῦθα κατορθουμένων ἐν τῇ πρὸς τοὺς ἐχθροὺς συμπλοκῇ ὁ δίκαιος ἀγωνοθέτης τοὺς ἐπὶ τῇ νίκῃ στεφάνους προέτεινεν, καὶ ὁ ἀρχιστρατηγὸς τῆς θείας δυνάμεως τὰ ἀριστεῖα τοῖς νικηταῖς παρεσκεύαζεν, καὶ τὸ

2-5 I Regn 17,1sqq 13sqq Gen 3,1sqq

OV^{e}MDΛV^{a}S 1 αἰχμὴν: ἀκμὴν Λ 4-5 πίπτει — γίνεται om D 6 ὅρους: λόγους V^{a} προσάγεται V^{a} 7 ὡσπερεὶ θεατὴς: ὥσπέρ τις θεατὴς V^{a} ὡς παρείθεα τῆς v 8 ἐν παρρησίᾳ in marg add V^{a2} παρ]ρησίᾳ alia manus in fine paginae add, infra columnam recentior alia manus scripsit λείπει O hinc usque ad finem orationis lectiones Veneti Marc. 359 (= V^{e}) in loco Monacensis O, ex quo descriptus est, in apparatu critico notantur post ἔπαινος add παρὰ τῶν ἁγίων ἀγγέλων Λv 9-10 τῶν κατορθωμάτων Λ 11 ἀγγέλοις om V^{a} τῷ om V^{e} 13 ἀπεναντίαν Λ ἀπεναντίας S ὅτε: ὥστε V^{e} 14 κατεπάλαιεν ΛV^{a} ὁ (post τότε) om v 15 προσβολὴν: βουλὴν V^{a} 17 πάντων V^{e}MDv 18 ἐλπίδι Λ 19 αὐτοῖς μόνον ΛV^{a} ante χωρισθῆναι add μὴ V^{a} 20 μετὰ Χριστοῦ: μετ' αὐτοῦ Λ μόνον Λ 23 ἔτι: ὅτι M^{1} (in marg ἔτι M^{2}) ἀτολμημάτων V^{e} 25 ἐχθροὺς: ἐναντίους V^{e}MDv 26 τῆς νίκης Λ

πνεῦμα τὸ ἅγιον τοῖς παντοδαποῖς ἐδεξιοῦτο χαρίσμασιν. ἐπειδὴ γὰρ εἰς τὴν τριάδα ἡ πίστις ὡμολογεῖτο, διὰ τοῦτο καὶ ἡ χάρις αὐτοῖς παρὰ τῆς τριάδος ἀντεμετρεῖτο. τίς δὲ ἡ χάρις ἦν; αὐτὸ τοῦτο τὸ ὑψηλοτέρους ἐπιδειχθῆναι τῶν πρώτων ἀγωνιστῶν, τοῦ Ἀδὰμ λέγω καὶ τῆς Εὔας. ἐκεῖνοι ἑστῶσαν τὴν ἀνθρωπίνην φύσιν διὰ τῆς ἁμαρτίας κατήνεγκαν, οὗτοι κειμένην ἐν τῷ πτώματι τῶν προλαβόντων διὰ τῆς ὑπομονῆς πάλιν ἀνώρθωσαν· ἐκεῖνοι ἐκ τοῦ παραδείσου ἐπὶ τὴν γῆν ἀπώσθησαν, οὗτοι ἐντεῦθεν ἐπὶ τὸν παράδεισον ἀνῳκίσθησαν· ἐκεῖνοι καθ' ἑαυτῶν τὸν θάνατον ὥπλισαν (ὅπλον γὰρ θανάτου ἡ ἁμαρτία, φησίν), οὗτοι καθωπλισμένον τῇ ἁμαρτίᾳ τὸν θάνατον διὰ τῆς ἑαυτῶν ἀνδρείας ἠχρείωσαν τῇ ὑπομονῇ τῶν παθημάτων τοῦ κέντρου τὴν ἀκμὴν ἀπαμβλύναντες, ὥστε εἰπεῖν καλῶς· Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; καρποῦ ξύλου τί ἀθλιώτερον; τί εὐτελέστερον ξύλου; καρπὸς εὐχροίᾳ τινὶ καὶ ἡδονῇ γεύσεως ἐπικεχρωσμένος ἀτιμασθῆναι τοῦ παραδείσου τὴν χάριν ἐποίησεν. 765 M.

Τοῖς δὲ μεγάλοις τούτοις ἀγωνισταῖς οὐδὲ αὐτὸς ὁ ἥλιος ἐφάνη γλυκύς· ἀλλὰ καὶ τούτου ἑκουσίως ἠλλοτριοῦντο, ἵνα μὴ τοῦ ἀληθινοῦ φωτὸς ἀποπέσωσι. τί λέγει περὶ τῆς Εὔας ὁ λόγος (προάγομαι γὰρ καὶ πέρα τοῦ δέοντος καταδραμεῖν τῶν προγόνων); Εἶδεν, φησίν, ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς καὶ ὡραῖον εἰς γεῦσιν. εἶτα τὴν ἐν τούτοις χάριν ἀντὶ τοῦ παραδείσου ἠλλάξαντο. τούτοις δὲ ἄρα καταγεύσεως ἡδονὴν τὰ ὁρώμενα ἦν· οὐρανός, ἥλιος, γῆ, ἄνθρωποι· πατρίς, μητέρες, ἀδελφοί, φίλοι, συγγενεῖς, ἡλικιῶται. ὧν τί μὲν ὀφθῆναι γλυκύτερον; τί δὲ εἰς γεῦσιν ἐλθεῖν τιμιώτερον; οἴδατε, οἱ παῖδες, τὴν εἰς τοὺς γονέας στοργήν· οἴδατε, οἱ πατέρες, τὴν εἰς τὰ τέκνα διάθεσιν· οἶδας, ὁ βλέπων, τὸ ἐν ἡλίῳ γλυκύ· οὐκ ἀγνοεῖς, ὁ φιλάδελφος, τὴν φυσικὴν πρὸς τὴν ἀδελφότητα σχέσιν· ἐπίστασαι, ὁ νέος, τὴν ἐκ τῶν ἡλικιωτῶν

9 "φησίν" ubi? quis? in LXX et NT non inveni; ad verba Rom 6,13sqq spectare videtur; cf etiam I Cor 15,56 (τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία) 12-13 I Cor 15,55 19-20 Gen 3,6

V^{e}MDΛV^{a}S 2 ὡμολόγητο Λ 4 ἀποδειχθῆναι S ἀγωνισμάτων Λ 7 ἐκ om S 10 ἑαυτῶν: αὐτῶν V^{a} 12 ἀκμὴν: αἰχμὴν ΛV^{a} 13 κέντρον: νῖκος Λ νῖκος: κέντρον Λ καρπὸς V^{e}MD 14 ἐπικεχρωσμένως V^{a} 16 οὐδ' V^{a} 17 ἀλλοτριοῦντο V^{a} 19 πρωτογόνων V^{e}Mv ἴδεν V^{a} 21 ἠλλάξατο V^{a}S ἄρα om V^{e}MD 22 ἀνθρώπῳ V^{e} πατρίς: πρες V^{a} post πατρίς add ἄνθρωποι Λ 23 φίλοι om ΛV^{a} 24 ἐλθεῖν om V^{a} 25 εἰς: πρὸς V^{e}MDS 26 τὸ ἐν ἡλίῳ: τὸν ἥλιον V^{a} 27 ἡλικιῶν Λ

χάριν, ὅσον σοι τὸν βίον ἡδύνουσιν. ἀλλ' ἐκείνοις πάντα ἐχθρά, πάντα ἀλλότρια ἦν· ἓν μόνον ἀγαθόν, ὁ Χριστός· πάντα ἠρνήσαντο, ἵνα τοῦτον κερδήσωσιν. χρόνος ἦν τῶν δεσμῶν οὐκ ὀλίγος, καὶ τοῖς ἁγίοις τῇ παρατάσει τῆς τιμωρίας ἡ πρὸς τὴν τελείωσιν ἐπιθυμία συνήκμαζεν. καὶ ὥσπερ οἱ τὴν σωματικὴν εὐεξίαν καταμελετῶντες, ἐπειδὰν ἱκανὴν ἐν παιδοτρίβου τὴν δύναμιν κτήσωνται, οὕτω θαρροῦντες ἐπὶ τοὺς ἀγῶνας χωροῦσιν, τὸν αὐτὸν τρόπον καὶ οὗτοι διὰ τῶν δεσμῶν καὶ τῆς φυλακῆς ἱκανῶς παιδοτριβηθέντες πρὸς τὴν εὐσέβειαν οὕτως ἐπὶ τὸν στέφανον τῶν ἀγώνων προήχθησαν. ἦλθεν ἡ ἀκολουθία τοῦ λόγου ἐπὶ τὴν τελευτήν, μᾶλλον δὲ ἐπὶ τὴν κορυφὴν ὅλου τοῦ κατορθώματος. οὗτος ἦν ὁ καιρός· αὗται τοῦ ἀγῶνος αἱ ἡμέραι· τοῦτο τὸ τοῦ Πάσχα προοίμιον, τὸ τῆς ἁγίας τεσσαρακοντάδος μυστήριον. τεσσαράκοντα τοῦ ἐξιλασμοῦ ἡμῖν αἱ ἡμέραι, ἰσάριθμοι καὶ τῶν ἀγώνων οἱ στέφανοι. ἆ που περιττὸς ὑμῖν εἶναι δοκῶ καὶ ἀδόλεσχος τὰ ὑμέτερα θαύματα ἐν ὑμῖν διηγούμενος καὶ τοῖς ὑμετέροις τὴν ἀκοὴν δεξιούμενος; πλὴν ὡς ἂν μὴ ἀτελεῖς ὑμᾶς παραδράμῃ ὁ λόγος, πρὸς τὸ πέρας τῶν ἀγώνων τοῖς ἁγίοις καὶ ἡμεῖς συνδραμούμεθα. κρυμὸς ἦν κατὰ τὴν ἡμέραν ἐκείνην. πάντως δὲ οὐδὲν δεῖ μαθεῖν ὑμᾶς, οἷος ὁ κρυμός, ἐκ τῆς παρούσης ἡμέρας στοχαζομένους· κρυμὸς ὁ καὶ αὐτῶν τῶν τοίχων διαδυόμενος. ἵστε τὴν ὑπερβολήν, οἵ τε ἐπήλυδες τῶν τόπων καὶ οἱ αὐτόχθονες, καὶ οὐδὲν δεῖσθε λόγῳ μαθεῖν. ἀλλὰ κἂν ἕτερος εἴποι τὴν θαυματοποιΐαν τῶν ὑμετέρων χειμώνων· ὅπως ποταμοὶ μὲν ἀέννααα ῥέοντες ἵστανται ἀντιβαινούσης τῷ ῥείθρῳ τῆς πήξεως καὶ ἀπολιθοποιούσης τὰ κύματα· ἡ δὲ γείτων λίμνη σημείων τινῶν πρὸς τὸ ἐπιγνωσθῆναι λίμνη οὖσα
768 M. προσδέεται χερσωθεῖσα διὰ τῆς πήξεως, ἐφ' ἧς σύνηθές ἐστι τοῖς βουλομένοις ἄνω τῶν κυμάτων αὐτῆς καθιππάζεσθαι. οἶδα πολλάκις καὶ ἐκ πυρὸς ὕδωρ τοῖς ἐγχωρίοις ἐπινοούμενον, ὅταν τι τρύφος τοῦ ὕδατος ἀποκλάσαντες ὥσπερ τινὰ χαλκὸν ἢ σίδηρον τῷ πυρὶ διατήξαντες ὕδωρ τὸν λίθον ποιήσωσιν. τοιοῦτος ἦν ὁ καιρὸς κατὰ τὸν τῆς ἀθλήσεως χρό-

---

$V^{e}MD\Lambda V^{a}S$ 1 σου Λ 2 ἀγαθὸν om $V^{e}M$ 4 παραστάσει V^{a} 5 εὐδοξίαν Λ μελετῶντες $V^{e}\Lambda V^{a}v$ 6 ἐν: ἐμ $D\Lambda V^{a}$ ἐκ S 7 post αὐτὸν add δὴ V^{a} 8-9 τῶν στεφάνων Λ 11 τὸ om ΛV^{a} 12 τὸ: τοῦτο V^{a} 13 τοῦ om v ἀγώνων: ἁγίων $V^{e}MDv$ 14 ἦ: εἰ $V^{e}V^{a}$ εἰ μὴ Λ ἡμῖν Λ ἀδόλεχος V^{e} 15 ἡμετέροις Λ ante ὡς add μὴ Λ 16 ἀτελὴς S παραδράμοι $V^{e}MDv$ 18 οὐδὲν δεῖ: δεν in corr δεῖ sscr Λ ὑμᾶς om ΛV^{a} ὁ om ΛV^{a} 19 κρυμὸς — διαδυόμενος om V^{e} κρυμμὸς D ὁ om Λv τοίχων: τριχῶν Λv 20 ἐπιπόλιδες V^{a} 21 δεῖσθαι V^{a} ἀλλὰ om S καὶ ἂν V^{a} 22 ἡμετέρων V^{a} ἀέναα $V^{e}M^{2}$ (ut vid ex ἀένναα) 25 ἧς: οἷς V^{a} σύνηθές: συνεχές V^{a} 26 ἄνω om Λ 27 τι: τὸ Λ 28 ante ὥσπερ add καὶ ΛV^{a}

νον ἐπίτασιν τοῦ κακοῦ παρὰ φύσιν ἐκ βορείων πνευμάτων λαβόντος, καθὼς ἔστιν ἀκούειν τῶν διηγουμένων τὰ θαύματα.

Ἐπειδὴ τοίνυν λαμπρῶς τὸ ὄνομα τοῦ κυρίου δημοσίᾳ κηρύξαντες καὶ ἤδη στεφανίτας ἑαυτοὺς διὰ τῆς τοιαύτης ἀναρρήσεως δείξαντες ἐχώρουν ἐπὶ τὴν διὰ τοῦ θανάτου τελείωσιν, οὗτος αὐτοῖς ἐπενοήθη τῆς ἀθλήσεως ὁ τρόπος· πρόσταγμα γίνεται τοῦ τυράννου κρυμῷ τοὺς ἀθλητὰς τιμωρήσασθαι. ὦ τῆς ἀσθενείας καὶ τῶν ῥημάτων καὶ τῶν νοημάτων· ὅσον ἀπολείπεται τῆς ἀξίας ὁ λόγος. θανάτου πρόσταγμα καὶ κρυμὸς καὶ τιμωρία καὶ προσδοκία τῆς τοιαύτης κολάσεως· καὶ ἡ μακαρία νεότης ἐν γέλωτι καὶ παιδιᾷ καὶ φαιδρότητι τὸν τῆς τιμωρίας κατελάμβανε τόπον· δρόμος ἦν τῶν ἀθλητῶν ἐπὶ τὸ πάθος, δρόμος ἱερός τε καὶ σύντονος, καὶ φιλονεικία τοῦ προαρπάσαι τῆς ὁμολογίας τὸν στέφανον. ἴση πρὸς τὴν νίκην ἦν αὐτοῖς ἡ σπουδή· οὐδεὶς ὕστερος ὤφθη τῇ προθυμίᾳ, ἀλλ' ὁμοθυμαδὸν ἅπαντες τουτονὶ καταλαβόντες τὸν τόπον δημοσίοις λουτροῖς τότε σχολάζοντα, ὡς καὶ αὐτοὶ μέλλοντες τῷ λουτρῷ καταφαιδρύνειν τὰ σώματα ἑτοίμως τὴν τῶν χιτώνων περιβολὴν ἀπετίθεντο τὸ τοῦ Ἰὼβ πάντες ἐπιφθεγγόμενοι ὅτι Γυμνοὶ εἰσήλθομεν εἰς τὸν κόσμον, γυμνοὶ πρὸς τὸν εἰσαγαγόντα ἀπελευσόμεθα· Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον οὐδὲ ἐξενεγκεῖν τι ὀφείλομεν, μᾶλλον δὲ γυμνοὶ εἰσελθόντες πλήρεις θησαυρῶν τῶν ἐκ τῆς ἀγαθῆς ὁμολογίας ἀπελευσόμεθα. ταῦτα λέγοντες καὶ τοιούτοις ἑαυτοὺς λόγοις παραθαρσύνοντες ἐδίδοσαν τῇ πήξει τὸ σῶμα· καὶ ἡ μὲν τῶν στοιχείων φύσις κατεκρατεῖτο τῇ πήξει, ἡ δὲ τῶν μαρτύρων φύσις ἀδούλωτος ἦν· μᾶλλον δὲ ἡ μὲν φύσις τὸ οἰκεῖον ἔπασχε καὶ τὰ ἀλγεινὰ παρεδέχετο, ἡ δὲ μεγαλοφυΐα τῶν ἀθλητῶν καὶ πρὸς αὐτὴν τὴν φύσιν διηγωνίζετο. ἡ μὲν γὰρ δύναμις κατὰ μικρὸν διελύετο μαραινομένη καὶ δαπανωμένη διὰ τῆς πήξεως, ὁ δὲ τῆς ψυχῆς τόνος μείζων ἐγίνετο.

17-19 Iob 1,21 19 I Tim 6,7

V^{e}MDΛV^{a}S 1 πνευμάτων om V^{a} πνευματικῶν v λαβόντες M 2 ἀκούειν om V^{a} διηγημένων Λ τὸ θαῦμα V^{a} 5 οὗτος ΛV^{a}S 5-6 ὁ τῆς ἀθλήσεως τρόπος S 7 ἀσθενείας: ἀθεΐας S 10 παιδείᾳ ΛV^{a} 11 κατελάμβανον V^{a} καταλάμβανε V^{e} τῶν om v 12 ante τῆς add καὶ Λ 15 post τόπον add ὡσεὶ Λv τότε λουτροῖς V^{e}MDv στοχάζοντα V^{a} 17 ἀποφθεγγόμενοι S 18 εἰσάγοντα V^{a} 19 εἰς τὸν κόσμον om V^{a} οὐδὲ: οὐδὲν V^{a}v ὀφείλομεν V^{e} 22 τὰ σώματα Λ 23 μαρτύ]ρων φύσις periit S ante ἀδούλωτος add ὡς v 24 τὰ om V^{a} 25 προσεδέχετο Λ 26-27 καὶ δαπανωμένη om V^{a} καὶ δαπ periit S 27 μεῖζον V^{a} ἐγένετο M^{1} (corr M^{2})

ἐμελαίνετο μὲν ἡ ὥρα ἐκείνη τοῦ σώματος, καὶ ἀπήνθει τὸ κάλλος, καὶ τὸ τῆς σαρκὸς εὔχρουν κατεμαραίνετο· ἀπέρρεον δάκτυλοι τῷ κρυμῷ κατ' ὀλίγον περικοπτόμενοι, μέλη τε πάντα καὶ αἰσθητήρια τῇ πικρίᾳ τοῦ κρύους περιεθρύβετο. πελιδνουμένη γὰρ κατ' ὀλίγον ἡ σὰρξ καὶ διοιδοῦσα καὶ περιλακιζομένη τοῖς μέλεσι τῶν ὀστέων ἀπέρρεε καὶ τὰ τῆς νεκρότητος πάθη ἐν αἰσθήσει ἐδέχετο. καὶ οὕτως αὐτοῖς κατὰ μικρὸν ὁ θάνατος προϊὼν ἐμηκύνετο τρισὶν ἡμέραις παρατεινόμενος. 769 M. μέχρι γὰρ τοσούτου τῆς αἰσθήσεως αὐτοῖς διαρκούσης ἔμειναν ἐφ' ἧς ἐξ ἀρχῆς ἐτάχθησαν τάξεως διὰ πάντων νικηταὶ κατὰ τοῦ ἐναντίου γενόμενοι.

Ἀλλὰ τίς ἄν μοι τὰ ἐπὶ τούτοις πρὸς ἀξίαν ἐκδιηγήσαιτο; τίς ὑπογράφει λόγος τὴν θείαν ἐκείνην πομπήν, ὅτε τὰ ἅγια σώματα δι' ἁμαξῶν ἐπὶ τὸ πῦρ ἐπομπεύετο; πῶς ἀντὶ τοῦ κλαπέντος ὑπὸ τοῦ διαβόλου ἀντεισήχθη τῷ ἀριθμῷ ὁ δεσμοφύλαξ ὑπὸ τῆς χάριτος; τίς μοι διηγήσεται τὴν μητέρα ἐκείνην τὴν ἀξίαν τοῦ μάρτυρος ῥίζαν, ἣ καταλειφθέντα ὑπὸ τοῦ δημίου τὸν ἐξ αὐτῆς, διότι ἔμπνους ἦν, καὶ διὰ τοῦτο μὴ ἀναληφθέντα μετὰ τῶν ἄλλων ἐπὶ τὴν ἅμαξαν, ἐπειδὴ εἶδε τὴν φιλανθρωπίαν τοῦ δημίου ἐπὶ τὸν ἀριστέα, τὴν ὕβριν οὐκ ἤνεγκεν· ἀλλ' ἐκεῖνον μὲν ἐλοιδόρει, ὅτι τῶν συναγωνιστῶν τὸν ἀθλητὴν ἀπεσχοίνισεν, αὕτη δὲ παραστᾶσα τῷ μάρτυρι ἤδη νεναρκηκότι καὶ ἀκινήτως ὑπὸ τῆς πήξεως ἔχοντι καὶ ἰδοῦσα ψυχρῷ καὶ ἀσθενεῖ τῷ ἄσθματι συνεχόμενον, τοσοῦτον ζῶντα μόνον, ὅσον τῶν ἀλγεινῶν ἐπαισθάνεσθαι, ἀμυδρῷ καὶ μεμαρασμένῳ τῷ βλέμματι τὴν μητέρα ἑαυτοῦ ὑποβλέποντα, νεκρᾷ καὶ ἀτονούσῃ τῇ χειρὶ διανεύοντά τε καὶ παραμυθούμενον, ὑποφέρειν γενναίως παρεγγυῶντα. ἐπειδὴ ταῦτα εἶδεν ἡ μήτηρ, ἆρά τι ἔπαθε μητρικόν; ἆρα συνεκινήθη τὰ σπλάγχνα ἢ τὸν χιτῶνα περιερρήξατο ἢ περιεχύθη τῷ τέκνῳ θερμαῖς ταῖς ὠλέναις τὸν μαρασμὸν ἐπιθάλπουσα; ἄπαγε· καὶ τὸ εἰπεῖν τι τοιοῦτον τῶν ἀτόπων ἐστίν. ὄντως ἐκ τοῦ καρ-

---

28-155,2 cf Matth 7,16-18

V^{e}MDΛV^{a}S 1 μὲν: γὰρ S ἐκείνη om V^{e}Dv 4 περιεδρύφετο V^{e}M DV^{a} περιεθρύφετο v ἡ om V^{a} 5 διοιδοῦσα: οἰδαίνουσα Λ περιλακιζουμένη v ἀπέρρησε Λ 6 νεότητος V^{a} 6-7 κατὰ μικρὸν om ΛV^{a} 8-9 ἀφ' ἧς ἐξαρχῆς V^{a} 10 γινόμενοι V^{e}v 11 ἐκδιηγήσοιτο ΛV^{a} ὑπογράφαι Λ 12 πομπὴν: ποιμνὴν V^{a} 13 ἐκπομπεύοντο Λ 16 διότι: ἰδοῦσα ὅτι V^{a} ἀνελήφθη S 17 ἴδεν V^{a} 19 αὐτὴ V^{a} 22 ἀμοίρῳ V^{a} 24 διανεύοντα — παραμυθούμενον om S τε om V^{a} 25 ἐπεὶ Λ ἴδεν V^{a} 26 περιερήξατο V^{a} 28 εἰπεῖν: φῆσαι Λ τοιοῦτο S τῶν τῶν V^{c} ἀτοπωτάτων ΛV^{a}

ποῦ τὸ δένδρον ἐπιγινώσκομεν· οὐ δύναται δένδρον σαπρὸν καρποὺς καλοὺς ποιῆσαι. ἐπεὶ οὖν ὁ καρπὸς τῆς μαρτυρίας καλός, ἐπαίνεσον τὴν ἀριστοτόκον μητέρα τὴν Διὰ τῆς τεκνογονίας σῳζομένην, καθώς φησιν ὁ ἀπόστολος. ἐπειδὴ γὰρ τοιοῦτον παρέστησε τῷ θεῷ τὸν καρπόν, ὑπὲρ τῆς κοινῆς τῶν γυναικῶν ἀπελογήσατο φύσεως. οὐκ ἐμόν, φησί, τέκνον σύ, οὐ τῆς ἐμῆς ὠδῖνος βλάστημα· τὸν θεὸν δεξάμενος κατὰ θεὸν ἐγεννήθης. ἔλαβες ἐξουσίαν τέκνον θεοῦ γενέσθαι. δράμε πρὸς τὸν σὸν πατέρα, μὴ καταλειφθῇς παρὰ τῶν ὁμηλίκων, μὴ δεύτερος ἐπὶ τὸν στέφανον ἔλθῃς, μὴ ἀτελῆ ποιήσῃς μητρῴαν εὐχήν· οὐ λυπήσεις μητέρα στεφανίτῃ καὶ νικητὴς καὶ τροπαιοφόρος γενόμενος. ταῦτα λέγουσα καὶ ὑπὲρ τὴν φύσιν ἑαυτὴν τονώσασα, μᾶλλον δὲ τονωθεῖσα ὑπὸ τοῦ πνεύματος, αὐτὴ τὸν ἐξ αὐτῆς μετὰ τῶν λοιπῶν ἐπὶ τὴν λαμπήνην ἀπέθετο φαιδρῷ τῷ προσώπῳ τοῦ ἀθλητοῦ προπομπεύουσα. τὰ ἐπὶ τούτοις οἷα; ἐνήθλησαν τῷ ἀέρι οἱ ἅγιοι, ἡγίασαν καὶ τὸ πῦρ τῇ ἑαυτῶν προσθήκῃ ὕλη τῇ φλογὶ γενόμενοι. ἤνεγκαν καὶ ἐπὶ τὸ ὕδωρ τὴν εὐλογίαν. διὰ πάντων ἐπληροῦτο τὰ θεῖα λόγια· ὡς οἱ τρεῖς παῖδες συμπαραλαμβάνουσιν εἰς τὴν κοινὴν ὑμνολογίαν ψῦχος καὶ καῦμα· τὸ ψῦχος διὰ τῆς πήξεως, τὸ καῦμα διὰ τῆς καύσεως. εἶτα Διῆλθον διὰ πυρὸς καὶ ὕδατος.

Ἀλλ' ἐπιθυμεῖ ταῦτα ὡς ἐγνωσμένα παραδραμεῖν ὁ λόγος καὶ περί τινος τῶν πρώην ζητουμένων ἐν καιρῷ νῦν ἐξετάσαι. ὅτε ἐξωρίσθη τοῦ 772 M. παραδείσου ὁ ἄνθρωπος, ἐτάχθη φρουρεῖν τὴν εἴσοδον φλογίνη ῥομφαία ἡ στρεφομένη. καὶ ἡ αἰτία τῆς τοιαύτης τοῦ θεοῦ προμηθείας τὸ μὴ παρελθεῖν ἐπὶ τὸ τῆς ζωῆς ξύλον τὸν ἄνθρωπον καὶ ἅψασθαι καὶ διαμεῖναι ἀθάνατον. μέμνησθε πάντως τῶν ἐζητημένων, μέμνησθε δὲ ὡς εἰκὸς καὶ τῶν πρὸς τὸ ζητούμενον ἡμῖν εὑρημένων. ἀλλ' εἰ μέλλοιμεν πᾶσιν ἐξ ὑπαρχῆς ἐπεξιέναι καὶ ὅλον διαλαμβάνειν τὸν λόγον, ὑπὲρ τὸν

3 I Tim 2,15 5-7 cf Joh 1,12sq 16sqq cf Dan 3,66sq 18-19 Ps 65,12 21-22 cf Gen 3,24

V^{e}MDΛV^{a}S 1 ἐπιγινώσκομεν: ἐπιγινώσκεσθαι δύναται Λ ἐπιγινώσκεται V^{a} post οὐ add γὰρ S 2 ποιῆσαι καλοὺς S 5 τῆς κοινῆς: ἁπάσης S ἀπολογήσατο V^{a} 6 post βλάστημα add ὢν Λ κατὰ: ἐκ Λ ἐκ τοῦ S κατὰ θεὸν om V^{a} θεοῦ ΛS 8 παρὰ: ἀπὸ Λ 9 ἔλθες Λ 11 ante ἑαυτὴν add τὴν V^{a} 12 λοιπῶν: ἄλλων ΛV^{a} λαμπήνην: ἀπήνην DΛ 13 post τὰ add δὲ Λv 14 ποῖα ΛV^{a} ἡγίασαν om ΛV^{a} 16 ὡς: ἃ Λ om V^{e}MDSv συνπαραλαμβάνουσιν V^{e} 17 post ὑμνολογίαν add εὐλογεῖτε πῦρ καὶ καῦμα Λ ante ψῦχος add τὸ Λ καῦμα: καύσων Λ 18 εἶτα: οὗτοι S 20 γνωσμένα v 21 ἐξετάσαι: ἐζήτησαν Λ 24 τὸν ἄνθρωπον om V^{e} 25 μέμνησθε — ἐζητημένων om ΛV^{a} δὲ om V^{e} 26 πρὸς τὸ om V^{a} ἐπιζητούμενον Λ ἐπιζητουμένων V^{a} 27 πᾶσιν: πάλιν ΛV^{a}Sv ἀπ' ἀρχῆς V^{a}v

παρόντα ἔσται καιρὸν ἡ παράτασις. τὸ μὲν οὖν ζητούμενον τοῦτο ἦν· εἰ καὶ τοῖς ἁγίοις ἄβατός ἐστιν ὁ παράδεισος διὰ τῆς στρεφομένης ῥομφαίας, καὶ εἰ τοῦ παραδείσου οἱ ἀθληταὶ ἀποκλείονται, τίς ἡ ἐπαγγελία λοιπόν, ὑπὲρ ἧς ἀναδέχονται τοὺς τῆς εὐσεβείας ἀγῶνας, καὶ εἰ τοῦ ληστοῦ ἔλαττον ἔξουσι, πρὸς ὃν εἶπεν ὁ κύριος ὅτι Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ; καίτοι γε οὐχ ἑκουσίως ὁ λῃστὴς τῷ σταυρῷ προσῆλθεν· ἀλλ' ἐπειδὴ ἐγγὺς τῆς σωτηρίας ἐγένετο, εἶδεν ὁ ὀξὺς καὶ εὐφυὴς κλέπτης τὸν θησαυρόν, καὶ ἐπιτυχὼν καιροῦ τὴν ζωὴν ἐλῄσατο καλῶς τῇ κλεπτικῇ καὶ εὐστόχως ἀποχρησάμενος Κύριε μνήσθητί μου εἰπὼν ἐν τῇ βασιλείᾳ σου. εἶτα ἐκεῖνος μὲν ἀξιοῦται τοῦ παραδείσου, ἐπὶ δὲ τῶν ἁγίων ἡ φλογίνη ῥομφαία διακωλύει τὴν εἴσοδον; ἢ αὐτόθεν ἔχει τὴν λύσιν τὸ ζήτημα. διὰ τοῦτο γὰρ οὐκ ἀεὶ ἑστῶσαν ἀντίπρῳρον τοῖς εἰσιοῦσι τὴν ῥομφαίαν ὁ λόγος ἔδειξεν, ἀλλὰ καὶ στρεφομένην ἐποίησεν, ἵνα τοῖς μὲν ἀναξίοις κατὰ στόμα προφαίνηται, τοῖς δὲ ἀξίοις στρεφομένη κατὰ νώτου γίνηται, ἀκώλυτον αὐτοῖς τὴν εἴσοδον ἐπὶ τὴν ζωὴν ὑπανοίγουσα· ἧς ἐντὸς ἐκεῖνοι γεγόνασι τῇ παρρησίᾳ τῶν ἀγώνων ἀπαθῶς τὴν φλόγα περάσαντες, ἣν καὶ ἡμεῖς ἀδεῶς περάσαντες τοῦ παραδείσου ἐντὸς γενοίμεθα, διὰ τῆς πρεσβείας αὐτῶν δυναμωθέντες πρὸς τὴν ἀγαθὴν ὁμολογίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

5-6 Luc 23,43 9-10 Luc 23,42

V^{e}MDΛV^{a}S 1 καιρὸν ἔσται ΛV^{a} οὖν om V^{a} 5-6 ἔσῃ μετ' ἐμοῦ Λ 6 οὐκ V^{a} 7 ἴδεν V^{a} 9-10 κύριε — σου om V^{e}M 10 εἰπὼν om S 11 ἦ: ἢ V^{e}MDS 12 τὸ ζήτημα τὴν λύσιν Λ ἀντιπρόσωπον ΛV^{a}v 14 μὲν τοῖς Λ προσφέρηται Λ φέρεται V^{a} 15 γίνεται M^{1} (corr M^{2}) ΛV^{a} 16 ὑπαντῶσα V^{a} ἧς: οἷς V^{a} post ἐκεῖνοι add τε M 17 ἦν: ἧς ΛV^{a} om S 17-18 ἀδεῶς — ἐντὸς om ΛV^{a}S 18 γενώμεθα V^{a} ante διὰ add ἄξιοι ΛV^{a} post αὐτῶν finis folii 131v, post fol. 131v lacuna in M 19 ἀπολογίαν V^{a} 20 post δόξα add καὶ τὸ κράτος V^{a}S τῶν αἰώνων om V^{a}S ἀμήν om V^{a}

COMENTARIO

La segunda oración, según la numeración presente en los códices (véase Lendle, *in app. crit.*, p. 145, el cual glosa que el único manuscrito que no presenta esta numeración es el *Mediolanensis Ambrosianus Graecus* 69, a pesar de que aparezca el adverbio πάλιν), si bien debería ser colocada en segunda posición con respecto a este trío de oraciones, cronológicamente, según los estudios hechos por Daniélou y Bernardi (Daniélou 1955, 362; Bernardi 1968, 303), es la tercera, al haber sido leída en Sebaste, en la iglesia urbana, justo un día después de la precedente, pronunciada en el *martyrium* de los Cuarenta, e interrumpida por el estruendo provocado por la aglomeración de los fieles.

(145, 5 - 146, 8) χθὲς οἱ μάρτυρες - τὴν ἄθλησιν

El proemio comienza majestuoso: el predicador quiere, de buenas a primeras, capturar la atención del auditorio para evitar que su desatención acabe en un alboroto parecido el de día anterior. Estilísticamente, mediante dos isocola coordinados por asíndeton y dos adverbios temporales (χθές - νῦν), Gregorio enfatiza la conexión temporal entre esta oración y la precedente, dejando claro que los mártires habían sido el día anterior (χθές) los anfitriones y ahora (νῦν), debido a la descortesía anterior, se han auto-invitado durante la celebración en cuestión.

(145, 6 - 13) νόμος δέ τίς ἐστι συμποτικὸς - τὸ λείψανον

Gregorio presenta la justificación mediante la cual quiere capturar la atención de los fieles y así poder desarrollar su discurso sin interrupciones. Según los principios de la ritualidad simposíaca (νόμος συμποτικός), sostiene

Gregorio, los banquetes han de ser rotativos, de manera que puedan ser celebrados, en un turno rotativo, de forma periódica. Esta norma simposial es un claro eco de Platón (Plat., *Leg*., 671b-c [p. 65-66]), el cual afirma que en una asamblea el auditorio, al beber mucho, se convierte en una muchedumbre turbulenta: "¿y no opinábamos que, cuando acaece esto, las almas de aquellos que beben, al convertirse en incandescentes como el hierro (καθάπερ τινὰ σίδηρον τὰς ψυχὰς τῶν πινόντων), se vuelven más blandas y más tiernas (διαπύρους γιγνομένας μαλθακωτέρας γίγνεσθαι καὶ νεωτέρας), de manera que se conceden a aquel que es capaz y experimentado en educarles y plasmarles, tal como cuando eran jóvenes? Acaso este escultor no es el mismo que el de entonces, el buen legislador (τὸν ἀγαθὸν νομοθέτην), el que establece las leyes simposiales (οὗ νόμους εἶναι δεῖ συμποτικούς), las cuales consiguen que aquel que es de buenas esperanzas, audaz y más descarado de lo necesario, y que no quiera subordinarse a la norma de callar, de hablar, de beber y de cantar cuando le corresponda (καὶ οὐκ ἐθέλοντα τάξιν καὶ τὸ κατὰ μέρος σιγῆς καὶ λόγου καὶ πόσεως καὶ μούσης ὑπομένειν), quiera hacer justamente todo lo contrario y, mediante la ayuda de la justicia, estas leyes sean aptas para enviar al bellísimo temor a atacar la torpe audacia invasora, aquel temor divino que hemos llamado pudor y vergüenza (ὃν αἰδῶ τε καὶ αἰσχύνην θεῖον φόβον ὠνομάκαμεν)".

Gregorio presenta la aporía de su oración, la *excusatio* por la cual justifica la falta de argumento utilizable en la composición de este encomio. El tópico de la justificación es ampliamente utilizado en Gregorio, sobre todo en los íncipit de sus discursos, expediente retórico preceptuado por Menandro (véase p. 66-67). El niseno, sin embargo, utiliza este medio estilístico para achacar la responsabilidad de la languidez del discurso a su auditorio, responsable de la interrupción del día anterior. No obstante, el predicador deja patente que el material de la oración del día precedente, constituido por unas abundantes sobras, es suficiente para la composición del discurso actual. Gregorio juega

lingüísticamente con el lema τὸ λειψάνον, término que evoluciona desde el griego clásico al griego cristiano. Su significado está estrechamente vinculado a la nominalización del verbo λείπω, en la acepción más bien clásica de "ser dejado, ser abandonado" y, en sentido traslaticio, "quedarse", "restar". La acepción a la que Gregorio se refiere se puede encontrar en las Etiópicas de Heliodoro, el cual, en su prólogo, habla de los restos de comida y de los cuerpos de un banquete que los protagonistas, Teágenes y Cariclea, encuentran en la playa (Heliodor., *Aithiop*., 1, 1, 4 [p. 54-55]): "y los restos que se veían no eran unos de una batalla sencilla (ἦν δὲ οὐ πολέμου καθαροῦ τὰ φαινόμενα σύμβολα), sino que era posible ver los míseros restos de un desafortunado banquete, terminado trágicamente (ἀλλ' ἀναμέμικτο καὶ εὐωχίας οὐκ εὐτυχοῦς ἀλλ΄εἰς τοῦτο ληξάσης ἐλεεινὰ λείψανα)". En este contexto se entrevé el matiz del griego cristiano, el de "reliquia", al cual Gregorio alude en este discurso.

(145, 14 - 22) μέμνησθε πάντως - τοὺς μάρτυρας

Gregorio enlaza, mediante este κεφάλαιον, el argumento de la oración anterior con esta: "recordad, por cierto, en qué punto me encontraba, cuando aquel barullo ensalzador y dulce para mí […] acabó por anegar la atención por lo que se decía". El autor vuelve a utilizar, al igual que en el epílogo de la oración precedente (*In XL mart.*, Ia, 142, 10-13: ὁρᾶτε τὴν φωνὴν τῷ θορύβῳ ταρασσομένην καὶ τὸν λόγον τῷ ἤχῳ διακοπτόμενον, ὥστε ἡμᾶς οἷόν τινι πελάγει κυμαινομένῳ τῇ φωνῇ τοῦ λαοῦ χειμασθέντας ἀναγκαίως ἐπὶ τὸν ἀκύμαντον τῆς σιωπῆς καταφυγεῖν λιμένα; 145, 13-22: ὁ […] θόρυβος συνέχεε […] ἡ […] θάλασσα τῷ πλήθει […] ἐκύμαινε, μιμουμένη καὶ τῷ ἤχῳ τὴν ὄντως θάλασσαν […] κατελίπομεν χειμασθέντα τῷ θορύβῳ τὸν λόγον), un símil marino. Este aparece también en Teofrasto (*Sens*., 27 [p. 93-94]) y Plutarco

(*Caes*., 22, 6 [p. 279]); véase también la entrada πλημυρέω (Liddell - Scott - Jones - Mckenzie 1966, 1419).

(145, 22 - 146, 6) ἡ ἀκολουθία τοῦ λόγου αὕτη - ἐδέξαντο

Mediante el expediente exegético de la ἀκολουθία, Gregorio establece un enlace entre el argumento interrumpido al final de la oración anterior y el que se viene a tratar (sobre la categoría interpretativa de la ἀκολουθία como nexo entre dos argumentos y, sobre todo, sobre su rol importante dentro de la obra nicena, véase p. 466-468). La ὑπόθεσις del discurso anterior era el elogio de la legión de los Cuarenta, partiendo, pues, de su origen (ἡ ἀρχή), y siguiendo el orden de los τόποι ἐγκωμιαστικοί preceptuado por la retórica antigua: πατρίς, πόλις ἔθνος, γένος, τὰ περὶ γενέσεως (ἐξώθην), τὰ περὶ φύσεως (τὰ περὶ σῶμα), ἀνατροφή, παιδεία (ἐξώθην), ἐπιτηδεύματα, ὁ περὶ τῶν πράξεων λόγος (τὰ περὶ ψυχήν), τὰ τῆς τύχης. Gregorio había empezado a tratarlos en la oración anterior antes de la interrupción (*In XL mart.*, Ia, 142, 8-10): "una virtuosa y admirable juventud (νεότης ἀγαθὴ καὶ περίβλεπτος), todos ellos elegidos por su valentía (ἀριστίνδην οἱ πάντες ἐξειλεγμένοι), destacados por su belleza (κάλλει διαπρεπεῖς), similares por su tamaño a los vástagos en la flor de la edad (ἔρνεσι τὸ μέγεθος παραπλήσιοι ἐν ἄνθει τῆς ὥρας)". Gregorio vuelve a retomar esta parte para continuar la secuencia lógica de los τόποι ἐγκωμιαστικοί: "los hombres escogidos para este certamen no fueron seleccionados al azar (ἐπιτηδεύματα), ni eran tampoco una caterva revuelta y anónima que, a partir de unos oficios humildes (τὰ περὶ γενέσεως), fueron elevados a este honor (ἀνατροφή, παιδεία). En primer lugar, por el contrario, en razón de la constitución física de su cuerpo, destacaban sobre el resto por la belleza, el vigor y la fuerza formidable (τὰ περὶ φύσεως - τὰ περὶ σῶμα) y por ello fueron alistados en las filas militares (τὰ τῆς τύχης): además de estas características, se

distinguieron también por una vida virtuosa y una conducta prudente (ἐπιτηδεύματα, ὁ περὶ τῶν πράξεων λόγος, τὰ περὶ ψυχήν), y, acercándose a su fin, aceptaron como un noble regalo la gracia del martirio (τὰ τῆς τύχης)". Como se puede observar en comparación con la secuencia fija de los τόποι, el padre capadocio hace un uso *ad suum proprium sensum* de la canonística sofística, demostrando querer remarcar voluntariamente su distancia con el panegírico clásico.

(146, 8) οἷον ὑπ' ὄψιν ἄγοντες τῷ παρόντι θεάτρῳ τὴν ἄθλησιν

El mártir, en la panegirística cristiana, es asociado frecuentemente a un atleta, como se ha podido comprobar en las oraciones del mismo niseno y de otros autores, entre los cuales Basilio. Pablo asocia, como sostiene en su primera carta a Timoteo (*1Tim*., 6, 12), el martirio al testimonio de la fe: "pelea la buena batalla de la fe, echa mano de la vida eterna, a la cual asimismo fuiste llamado, habiendo hecho la buena profesión delante de muchos testigos". La batalla es el equivalente en la metáfora paulina del combate; todo atleta lucha con una finalidad, una corona, el premio para sus logros. Es esto pues el objetivo del mártir, como queda explicado en la carta a los Corintios (*1Cor*., 9, 24-27): "¿no sabéis que los que corren en el estadio, todos a la verdad corren, pero uno solo se lleva el premio? Corred de tal manera que lo obtengáis. Todo aquel que lucha, de todo se abstiene; ellos, a la verdad, para recibir una corona corruptible, pero nosotros, una incorruptible. Así que, yo de esta manera corro, no como a la ventura; de esta manera peleo, no como quien golpea el aire, sino que golpeo mi cuerpo, y lo pongo en servidumbre, no sea que habiendo sido heraldo para otros, yo mismo venga a ser eliminado". El premio, pues, según Pablo, la corona del martirio, es identificada con la figura de Cristo, como él, en su Epístola a los Filipenses (*Fil*., 3, 13-14), deja patente: "hermanos, yo mismo no pretendo haberlo

ya alcanzado; pero una cosa hago; olvidando ciertamente lo que queda atrás, y extendiéndome a lo que está delante, prosigo a la meta, al premio del supremo llamamiento de Dios en Cristo Jesús".

(146, 9 - 147, 12) ἦν τι τάγμα στρατιωτικὸν - χορηγούσης

El niseno hace referencia, en este pasaje, al fenómeno milagroso de la lluvia, acontecido en una de las expediciones militares de la *Legio XII Fulminata*, que les permitió, mediante el rezo incesante de los Cuarenta, escampar la muerte por deshidratación. La legión se encontraba de estancia en Melitene, en unos alrededores muy próximos a Sebaste, desde la época de Vespasiano. Este acontecimiento ha sido transmitido por fuentes clásicas y cristianas al mismo tiempo, considerando entre las cristianas las de Gregorio, las de Tertuliano (*Apolog.*, 5 [p. 27]; *Scap*., 4, 6 [p. 1131]) y las de Eusebio (*Hist. eccl.*, V, 4, 3-7 [p. 434-436]; Id., *Chron*., I, 206-207 [p. 620-621]: *eum Christianorum precibus servatum esse, cum imber de caelo venisset*). Entre las clásicas, se enumeran la de Dión Casio (*Hist. Rom.*, 71, 8, 1-10 [p. 92]), la de la *Historia Augusta* y la de la vida de Marco Aurelio (*Ad se ips.*, 24, 4 [p. 56]). Véase también Fowden 1987, 83-95; Sage 1987, 96-111; Zuckermann 1991, 473-486.

(147, 12 - 148, 5) τούτοις τοίνυν συνετάχθη - προθύσαιτο

Como el texto especifica, el sermón está precedido por el oficio de lecturas. Durante el transcurso de la liturgia, de hecho, se leían tres textos del Antiguo y del Nuevo Testamento, uno a elegir entre el Libro de Leyes y el de los Profetas, uno a partir de los escritos de los apóstoles (Pablo y los otros) y otro de los Evangelios (véase Gain 1985, 185 nota 101; *Const. apost.*, VIII, 5, 11 [p. 150]: καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ Νόμου καὶ τῶν Προφητῶν, τῶν τε Ἐπιστολῶν ἡμῶν

καὶ τῶν Πράξεων καὶ τῶν Εὐαγγελίων, ἀσπασάσθω ὁ χειροτονηθεὶς τὴν ἐκκλεσίαν), tras los cuales el predicador mantenía un sermón. El sermón, en la mayoría de los casos, presentaba como *Leitmotiv* el panegírico del personaje del cual se celebraba su πανήγυρις, aunque cupiera la posibilidad de tocar otros argumentos. En el caso de la primera homilía para los cuarenta mártires, Gregorio declara que durante el oficio se han leído textos del Libro de los Proverbios, una carta de Pablo a los Efesios, los Salmos y un pasaje de Job (*Jb.*, 1, 7-22). Gregorio aprovecha esta *liaison* para introducir una σύγκρισις entre los mártires y Job (σύγκρισις repetida hasta en dos ocasiones más, es decir, *In XL mart.* Ia, 137, 19-20 y *In XL mart.* II, 153, 16-21). El paradigma de Job como modelo de virtud es el más frecuente. De hecho, el paralelismo, en los panegíricos nisenos, entre el profeta y el encomiado (o los encomiados) es uno de los tópicos más recurridos. Este se puede encontrar en la Oración para Melecio (*Melet.*, 445, 18 - 446, 2), en la cual se establece una verdadera competición para asignar el rol de modelo entre los dos virtuosos. Job encarna el paradigma de la εὐσέβεια, de la vida cristiana, en modo particular, frente a las adversidades. El profeta es el arquetipo de la toma de conciencia de la condición efímera de la vida humana respecto a la vida celeste. Esta confrontación aparece en la Oración para Pulqueria, donde Job, al haber perdido de golpe su familia y no derramar ni una sola lágrima, sirve de *exemplum* consolatorio para los padres de la princesa (*Pulcher.*, 467, 18-21; 470, 30 - 471, 4). Job es, pues, como lo define Gregorio en *In XL mart.* Ia, 137, 19-20, un ejemplo de ἀνδρεία, un modelo para la figura del mártir modélico, con el cual compartían ancestros, como es el caso, por ejemplo, de Teodoro (*In s. Theod.*, 64, 23 - 65, 2). Job se convierte pues en el κοινὸς τόπος (*Rhet. Anon*., VI [p. 598 - 601]) en la tratadística nisena, un *exemplum* para los mismos legionarios de Sebaste para abrazar el martirio (véase Leemans 2008, 231-236).

(148, 6 - 150, 5) ἀναδειχθέντων δὲ τούτων - ἀκέφαλος γίνηται

En este pasaje el obispo de Nisa pasa a la descripción del encarcelamiento de los soldados. Al ser señalados por confesar la fe (ὁμολογία) y tras su deserción, son encarcelados para ser después torturados. Gregorio traza una maravillosa ἔκφρασις al dibujarlos encadenados los unos a los otros en la celda: el autor compara la unión de los Cuarenta, atados a una única cadena, con un collar que tiene distribuidas a lo largo de su circunferencia unas perlas, todas del mismo tamaño. Esta digresión viene amplificada —para destacar que la unión segura y firme de los mártires contribuía a incrementar su belleza— mediante un símil con las estrellas en el cielo: un astro por sí solo no llega a brillar tanto sino gracias a la aportación mutua de los otros cuerpos celestes. Como glosa también el editor, en el aparato crítico (*In XL mart.* Ib, *in app. crit*., 145), esta comparación está extraída de *Ez*., 1, 13: "su aspecto era como de carbones de fuego encendidos, como visión de hachones encendidos que andaba entre los seres vivientes; y el fuego resplandecía, y del fuego salían relámpagos". Sobre este aspecto astronómico, en particular modo sobre el matiz de "brillar juntos" (σύμφανσις o también definida como σύμφαυσις πολλῶν ἀστέρων, "conjunción astral"), véase Aristot., *Metereol*., 1, 6, 1 (342b, 25 [p. 15]): Ἀναξάγορας μὲν οὖν καὶ Δημόκριτός φασιν εἶναι τοὺς κομήτας σύμφασιν τῶν πλανήτων ἀστέρων, ὅταν διὰ τὸ πλησίον ἐλθεῖν δόξωσι θιγγάνειν ἀλλήλων ("Anaxágoras y Demócrito sostienen que los cometas son una conjunción de planetas que se acercan a tal punto de dar la impresión de tocarse").

En el párrafo destaca sobremanera el léxico utilizado por el niseno a la hora de encomiar los Cuarenta. Estos son definidos como "soldados de Cristo (στρατιῶται Χριστοῦ), hoplitas del Espíritu Santo (τοῦ ἁγίου πνεύματος ὁπλῖται), defensores de la fe (τῆς πίστεως πρόμαχοι) y torres de la ciudad divina (πύργοι τῆς θείας πόλεως). Ellos se reían […] de la rebelión de los miedos

(πᾶσαν φόβων ἐπανάστασιν), de todo ataque amenazante (πᾶσαν ἀπειλῆς προσβολήν) […] ¡qué maravilla que hayan aportado su experiencia militar contra el orden de batalla del diablo (τὴν τοῦ πολεμεῖν ἐμπειρίαν εἰς τὴν κατὰ τοῦ διαβόλου παράταξιν)! No han armado sus manos con una espada (οὐ ξίφει τὰς χεῖρας ὁπλίσαντες), ni se defienden con un escudo de madera (οὐδὲ τὸν ἐκ τοῦ ξύλου θυρεὸν προβαλλόμενοι), ni se protegen con un casco de bronce o con grebas (οὐδὲ χαλκῇ περικεφαλαίᾳ καὶ κνημῖσι περιφραξάμενοι), sino que se han revestido con la armadura de Dios (τὴν τοῦ θεοῦ πανοπλίαν), la cual el divino Apóstol, el general de la Iglesia (ὁ στρατηγὸς τῆς ἐκκλησίας), ilustra: un escudo (θυρεόν), una coraza (θώρακα), un casco (περικεφαλαίαν) y una espada (μάχαιραν). Así avanzaron contra las fuerzas enemigas (κατὰ τῆς ἐναντίας δυνάμεως). Pero la gracia divina los dirigía (ἐστρατήγει), el que tiene el poder de infligir la muerte a las tropas del diablo (τῆς δὲ τοῦ διαβόλου παρατάξεως). Para ellos el lugar de la contienda (τόπος δὲ τῆς παρατάξεως) era el tribunal de los asesinos: allí los contrincantes se enfrentan, los unos lanzando amenazas, los otros resistiendo pacientemente". Este muy matizado campo semántico militar, como el mismo predicador sostiene, encuentra su origen en Pablo (*Eph*., 6, 10-19): "por lo demás, hermanos míos, fortaleceos en el Señor, y en el poder de su fuerza. Vestíos de toda la armadura de Dios, para que podáis estar firmes contra las asechanzas del diablo. Porque no tenemos lucha contra sangre y carne, sino contra principados, contra potestades, contra los gobernadores de las tinieblas de este siglo, contra huestes espirituales de maldad en las regiones celestes. Por tanto, tomad toda la armadura de Dios, para que podáis resistir en el día malo, y habiendo acabado todo, estar firmes. Estad, pues, firmes, ceñidos vuestros lomos con la verdad, y vestidos con la coraza de justicia, y calzados los pies con el apresto del evangelio de la paz. Sobre todo, tomad el escudo de la fe, con el que podáis apagar todos los dardos de fuego del maligno. Y tomad el yelmo de la salvación, y la espada del Espíritu, que es la palabra de Dios; orando en todo

tiempo con toda oración y súplica en el Espíritu, y velando en ello con toda perseverancia y súplica por todos los santos; y por mí, a fin de que al abrir mi boca me sea dada palabra para dar a conocer con denuedo el misterio del Evangelio".

(149, 22 - 150, 4) πρότασις ἦν - τοῦ καλοῦ στρατιώτου

El desafío de los Cuarenta a la autoridad es comparado al de David contra Goliat (σύγκρισις). La respuesta de fe (ἀπόκρισις) de los Cuarenta es, en palabras del niseno, similar a la piedra y a la honda mediante las cuales David derrocó al adversario (*1Re.*, 17, 1, 49-51; *1Re*., 17, 5; 17, 38; 17, 45): "y traía un casco de bronce en su cabeza, y llevaba una cota de malla; y era el peso de la cota cinco mil siclos de bronce. Sobre sus piernas traía grebas de bronce, y jabalina de bronce entre sus hombros […] Saúl vistió a David con sus ropas, y puso sobre su cabeza un casco de bronce, y le armó de coraza […] entonces dijo David al filisteo: tú vienes a mí con espada y lanza y jabalina; mas yo vengo a ti en el nombre de Jehová de los ejércitos, del Dios de los escuadrones de Israel, a quien tú has provocado […] y metiendo David su mano en la bolsa, tomó de allí una piedra, y la tiró con la honda, e hirió al filisteo en la frente; y la piedra quedó clavada en la frente, y cayó sobre su rostro en tierra. Así venció David al filisteo con honda y piedra; e hirió al filisteo y lo mató, sin tener David espada en su mano. Entonces corrió David y se puso sobre el filisteo; y tomando la espada de él y sacándola de su vaina, lo acabó de matar, y le cortó con ella la cabeza". A primera vista, Gregorio recurre al mismo léxico bíblico para referirse a los mártires y a su ataque a sus verdugos (*In XL mart.* Ib, 149, 27 - 150, 5): "este nombre mismo fue el golpe asestado contra los enemigos (ἡ τῶν ἐναντίων πληγή), esta fue la jabalina que ellos lanzaron contra el adversario (ταύτην […] τὴν αἰχμήν); a través de esta voz fue golpeado el antagonista en mitad de su corazón; esta es la piedra tirada con

la honda en la mano de David (ὁ λίθος […] σφενδονούμενος), que dio derecha en el casco del adversario. Pues la confesión de fe en Cristo es la honda del buen soldado (ἡ γὰρ τοῦ Χριστοῦ ὁμολογία σφενδόνη γίνηται τοῦ καλοῦ στρατιώτου); el enemigo cae y queda descabezado (ἀκέφαλος)".

(150, 5 - 152, 17) ἀλλὰ παρηνέχθη - ἡμεῖς συνδραμούμεθα

En la segunda parte del texto (*In XL mart.* Ib, 150, 5 - 155, 19), Gregorio introduce un pasaje retórico dividido en tres partes. Este (150, 5-10) hace a la vez de κεφάλαιον de paso entre un argumento y otro (la epifanía del combate entre los soldados y el diablo, mediante una ἔκφρασις altamente icástica); el segundo (150, 21 - 151, 3) hace de preámbulo a la σύγκρισις con Adán y Eva; y el tercero (152, 9 - 152, 17) de introducción a la diégesis del martirio (152, 17 - 155, 19). En este último, los XL son equiparados a los 40 días de la *Tessarakosté* (ἡ τεσσαρακοστής ἡμέρα), la Cuaresma, pasando a simbolizar pues la *Quadragesima*, los cuarenta días de preparación a la Pascua (Πάσχα) y precedentes a Pentecostés (ἡ πεντηκοστής ἡμέρα).

(151, 5 - 8) ἐκεῖνοι ἑστῶσαν - ἀνῳκίσθησαν

La σύγκρισις, o mejor dicho, ἀντίθεσις entre Teodoro y Adán y Eva anticipa la *quaestio* que Gregorio plantea en la *peroratio*. Mediante un rebuscado procedimiento estilístico (quiasmo), el niseno equipara como un oxímoron a ambos grupos. Unos por el pecado derribaron la naturaleza humana, los otros la restablecieron; aquellos (en referencia a Adán y Eva) fueron expulsados del paraíso, mientras estos volvieron a él; aquellos entregaron voluntariamente sus armas a la muerte; estos, mediante sus armas y su valor, se enfrentaron a la muerte. Esta triple estructura quiástica no tiene otro efecto que realzar a

posteriori la figura de los santos mediante la comparación. No obstante, Gregorio centra el núcleo de la comparación en la verdadera grandeza de los mártires y, por otro lado, en la inconmensurable miseria de la pareja de *Gen.*, 3, 23-24 (καὶ ἐξαπέστειλεν αὐτὸν κυρίος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήμφθη. καὶ ἐξέβαλεν τὸν Ἀδάμ καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς) por perder el privilegio de poder gozar del paraíso. Esta es, al contrario, la finalidad del mártir (σκοπός), su verdadera patria (πατρίς). Gregorio lo deja bien claro: ἐκεῖνοι ἐκ τοῦ παραδείσου ἐπὶ τῆν γῆν ἀπώσθησαν, οὗτοι ἐντεῦθεν ἐπὶ τὸν παράδεισον ἀνῳκίσθησαν. Esta concepción del paraíso como la tierra natal y final del mártir es un tópico claramente copiado de Basilio (*In quadr. martyr. Sebast.*, 509B, 12-15): πόλις τοίνυν μαρτύρων ἡ πόλις ἐστὶ τοῦ Θεοῦ· τεχνίτης καὶ δημιουργὸς ὁ Θεὸς, ἡ ἄνω Ἱερουσαλὴμ ἡ ἐλευθέρα, ἡ μήτερ Παύλου, καὶ τῶν ἐκείνῳ παραπλησίων ("la patria, pues, de los mártires es la ciudad de Dios; Dios es su arquitecto y demiurgo, la Jerusalén de arriba, la ciudad libre, la madre de Pablo y de todos aquellos que le están cerca"). El paraíso como recompensa para alguien que haya pasado por los sufrimientos a raíz de su ὁμολογία τῆς πίστεως es una herencia que Gregorio adquiere de la tradición patrística anterior y transfiere en su discurso (sobre la teoría según la cual el mártir tiene derecho al paraíso en virtud de su sacrificio, véase los copiosos ejemplos citados por Leemans (2008, 235, nota 28, con su amplia bibliografía).

(151, 16 - 155, 19) τοῖς δὲ μεγάλοις τούτοις ἀγωνισταῖς - διὰ πυρὸς καὶ ὕδατος

Gregorio, mediante un muy rebuscado preámbulo, en el cual presenta el καιρός del discurso y traza una estrecha vinculación entre la Pascua y el martirio de los Cuarenta (*In XL mart.* Ib, 152, 11-13: οὗτος ἦν ὁ καιρός· αὗται τοῦ ἀγῶνος

αἱ ἡμέραι· τοῦτο τὸ τοῦ Πάσχα προοίμιον, τὸ τῆς ἁγίας τεσσαρακοντάδος μυστήριον), pasa al apartado de la *narratio* describiendo la muerte de los XL, descripción que profundizará más adelante en la segunda oración (*In XL mart.* II, 161, 9 - 166, 8).

(155, 20 - 156, 20) ἀλλ΄ ἐπιθυμεῖ ταῦτα - ἀμὴν

La *quaestio* central del epílogo del discurso se centra en la discusión sobre la admisión al paraíso, si el ángel guardián de la entrada, blandiendo una espada flameante, no les denegará la entrada al paraíso en virtud de recompensa para su martirio. Esta referencia hace eco al pasaje de *Gen.*, 3, 24: "y ordenó a los querubines vigilar mediante la espada encendida que se revolvía por todos lados, el camino del árbol de la vida (καὶ ἔταξεν τὰ χερουβίμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς)".

DE GREGORIO OBISPO DE NISA ORACIÓN ENCOMIÁSTICA PARA LOS SANTOS CUARENTA MÁRTIRES PRONUNCIADA DENTRO DE SU MARTYRIUM

(II)

TRADUCCIÓN

(159, 4) Los soldados romanos conmemoran esta época del año y solemnizan este día en particular, según una ley patria y una costumbre antigua, que observan desde niños hasta al presente por haberla heredado de sus antepasados, es decir, visten la panoplia al comienzo de cada mes y ocupan un campo suficientemente nivelado y llano, en el que sea posible poner los caballos a galope tendido, practicar maniobras tácticas y entrenar todo tipo de ejercicio militar. Por mi parte, tras haber rememorado a los mártires y pregonado su recuerdo anteayer, traigo de nuevo ante vosotros aquellos que, habiéndolos armado mediante el recuerdo, pueden hoy considerarse dignos de admiración, es decir, a los Cuarenta soldados de Cristo, ya que ellos, por su esfuerzo en todos los combates, son adorno de la Iglesia, alegría de los pueblos y la gloria de Dios que los ha fortalecido.

Sin embargo, es imprescindible y muy ventajoso, con estos relatos de virtud, hacer meditar a los jóvenes y, a la vez, hacer madurar a los que ya son adultos. Escuchar es el más conveniente de los sentidos y no es menos didáctico que la vista. Pues a través de las orejas, el aprendizaje llega directamente a las almas de manera efectiva; sin embargo, existe el peligro no menor de escuchar tanto relatos virtuosos como malignos. En efecto, se cuentan sobre ellos esas y

otras historias, puesto que es inevitable que surja una cierta fantasía en las mentes de los que escuchan. La inteligencia y el conocimiento de la mente conducen incesantemente al hombre al deseo de hacer lo que piensa. Por tanto, prestadme una atención calma y concentrada, a fin de que los beatos mártires sean celebrados como les corresponde, y vosotros, a través de su conmemoración, aprendáis aquello que es sagrado y querido a Dios.

(160, 4) Se me presenta un doble certamen: el temor de ensuciar la materia en cuestión es debido a la incapacidad de explicarla, ya sea porque alguien piense que la grandeza de su acción depende, sobre todo, del discurso de quien reporta sus gestas victoriosas, ya sea debido a aquel (Basilio) que coronó a los santos antes que nosotros, sirviéndose de su propia sabiduría. Se trata de un hombre, cuyo esplendor es reconocido por la ecúmene; ejemplo perfecto de educación para los cristianos y para los que no lo son, imagen de la filosofía, modelo y advertencia de los obispos, maestro coherente con sus acciones y sus palabras; en opinión de todos, este hombre gozaba de una reputación sin igual, con la excepción de aquellos que hasta de Cristo blasfeman. Ninguna persona puede negar que el sol dé luz y calor; del mismo modo, nadie puede contradecir al gran Basilio, a no ser que no quiera adornarse con la belleza de la virtud. Sublime elogiador de lo magnífico, santo terapeuta de los santos, otorga la beatitud, por su poder natural, a los que destacan en virtud. Por esta razón no puedo permanecer en silencio, puesto que él, habiéndose adelantado, ya había proclamado magníficamente sus maravillas. No es pues ahora la finalidad de mi encomio porfiar por aquello que se ha elogiado anteriormente, sino conseguir el provecho de vosotros que me estáis escuchando, pues todo el mundo obtiene el mayor provecho posible cuando el goce de los mejores bienes viene dispensado por los más ricos.

(160, 22) Así, a estos cuarenta hombres, como soldados, les correspondió por suerte durante su vida luchar bajo la autoridad del emperador romano,

mientras que como cristianos les tocó la fe y ser piadosos en el culto. Al gobernar, en aquel momento exacto, uno de los tantos emperadores paganos, el cual (empujándole las divinidades a decretar un edicto malvado) persiguió a los cristianos mediante la promulgación de un inaudito decreto y una ley, ordenando que todos los súbitos ofrecieran incienso a las divinidades o que, si se negaban, fueran condenados a muerte y, antes de su fin, fueran sometidos a múltiples tormentos en todo su cuerpo; en este caso, los beatos, haciendo alarde de su valor contra la crueldad del tirano y el decreto abominable ante Dios, una vez separados de los otros soldados, compusieron una excepcional falange devota a Cristo, comandada por la fuerza del Espíritu, y se enfrentaron abiertamente a cara descubierta a las sangrientas leyes. Al unísono todos, como un coro, profesaron a voz en cuello nuestra fe, declarando que les preocupaba poco esta vida presente y, entregándolos, exponían sus cuerpos a los más variados tipos de vejaciones.

(161, 3) Entonces, el servidor más despiadado de aquella ley cruel, constatando personalmente la valiente resistencia de los santos, se esmeró en tramar un suplicio para que se rindieran, planeando una singular y extraordinaria tortura para esas almas intrépidas. "si les amenazo con la espada —se dijo— tendrán poco miedo en ceder y de ninguna manera se someterán, pues son hombres que han vivido desde niños entre armas, y acostumbrados a herir con hierro. Si les amenazara con otros tormentos, perseverarán noblemente, aguantando sin dificultad golpes y heridas; ni tan siquiera el fuego causa angustia a unos que se mantienen firmes como estos. Por eso sería adecuado encontrar una pena que tuviera una intensidad de sufrimiento aguda y prolongada a lo largo de mucho tiempo".

¿Qué planeó entonces el sofista de las torturas tan meticulosamente contra los santos? Tras haberlo pensado cuidadosamente, encontró un tiempo, un lugar y un suplicio expuesto a las inclemencias del clima, que se encontraba a su

alcance. El tiempo era invierno; la ubicación, Armenia, tierra cercana, que, como sabéis, tiene un clima riguroso; esta región no ofrece calor a sus habitantes ni en la estación estival, ni tampoco llega a calentar lo suficiente como para que la espiga brote; la planta de la vid allí no se conoce; y el que no ha marchado muy lejos de allí, tampoco no conoce el racimo de uva, y por eso pregunta por el grano de uva del mismo modo que nosotros preguntamos por lo que pasa donde habitan los indios. En este lugar el que siembra la tierra, corta a lo largo cuando es invierno, y recoge la cosecha cuando se empieza a cubrir de nieve; los vientos desnudan al segador, si no se enfrenta a la violencia de los vientos atándose fuertemente las vestiduras. Otoño y primavera casi no existen, arrastrados bajo su dominio por el terrible invierno que se aproxima.

(161, 27) Fue entonces en aquella zona y en ese mes, después de que los santos fueran completamente despojados de sus ropas, cuando él los dejó de pie, con sus cuerpos desnudos, a diferencia del rey de los asirios, que castigó los discípulos de la piedad en el horno de Babilonia. El frío glacial y devastador no es para nada comparable al sufrimiento en el fuego ardiente: de hecho, mientras uno se parece al hierro que lleva a la muerte fulminantemente, el otro prolonga el sufrimiento antes del final mortífero. En efecto, las aflicciones provocadas por el frío son, por lo general, más lentas, tal como las fiebres cuartanas, las úlceras, los forúnculos y todos aquellos males en los que los médicos declaran, filosofando, que la materia fría causa daño a los cuerpos. Así les pasa a aquellos que son más frioleros, a los más perezosos de constitución obesa y a aquellos que son inválidos, y lo mismo también vale para los animales irracionales.

(162, 6) Por un lado, efectivamente, aquellos con un cuerpo más cálido hacen movimientos más rápidos y más precisos en función de su necesidad; los otros, en cambio, son más lentos porque están impedidos por el peso. Por ejemplo, un caballo rápido, al despertarse al sonido del látigo, de inmediato comienza a correr, mientras que un mulo apenas consigue hacer su camino,

excepto si no es arrastrado por las cuerdas. La pantera es ágil por su cuerpo caliente y firme, que le permite saltar a través de los valles; el oso, en sentido inverso, se mueve más torpemente a causa de sus miembros más voluminosos. No es momento de hablar con vosotros sobre estos asuntos de carácter animal, sino únicamente para que tengáis en cuenta la resistencia de aquellos hombres que se sometieron a aquel tipo de suplicio.

(162, 13) El invierno allí permite caminar a través de ríos que suelen ser navegables y el agua corriente se convierte en dura como las piedras, y el frío incluso llega a romper las piedras, cuando alcanza el fondo; de la misma manera daña también a otros cuerpos de naturalezas opuestas, sea petrificando aquellos cuerpos que son blandos, sea derritiendo aquellos que son sólidos. De este modo, el vino, al congelarse, asume la forma de la tinaja que lo contiene, y el aceite blando se presenta rígido, moldeado según la forma de su recipiente. El vidrio y la cerámica, en cambio, se rompen en pedazos al desgarrarse por el frío. Los animales a los que les ha tocado vivir en las regiones montañosas y en abierta campaña, unos, por un lado, perecen y otros olvidan su agresividad por la enormidad del mal. Los ciervos y gacelas que viven en majadas al aire libre no tienen miedo a los perros ni huyen al estar unidos: el terror es superior a los miedos menores y aleja la cobardía. Las aves residen donde los hombres y viven bajo el mismo techo con ellos. Los hombres excavan y extraen el agua potable con instrumentos de piedra, y los vecinos no tienen trato los unos con los otros.

Esta época del año se convirtió en un arma del tirano contra los mártires. Pues debía, como es natural, esta gran y armoniosa cohorte de beatos enfrentarse a la condena de un nuevo modo, a fin de que obtuvieran, respecto a la mayoría de los mártires, la gloria incomparable de su profesión de fe. Ellos estaban de pie y se mantenían firmes a pesar de que sus miembros temblaran, su juicio era constante y ofrecían una divina lucha presenciada por los ángeles, los hombres y los demonios. Los ángeles esperaban la separación de las almas con el fin de

acompañarlas a su destino original. Los hombres aguardaban con ansia su final, sometiendo a prueba la resistencia de la común naturaleza humana para descubrir si el temor y la esperanza en el futuro podían soportar aquellos sufrimientos. Los demonios asistían expectantes a los acontecimientos deseando ver la caída de los atletas y su fracaso ignominioso frente a las pruebas. Su esperanza, sin embargo, fue frustrada, ya que Dios los había fortalecido.

(163, 9) Ellos, pues, dirigían la vista a las amputaciones, y cada uno miraba las suyas y todos las de unos y de otros. Uno yacía sin vida en el suelo, al tener el pie o los dedos amputados por el frío; el otro agonizaba mientras que su calor natural se disipaba hasta morir. Al igual que los vientos más violentos soplando furiosamente sobre un lugar frondoso derriban de cuajo las cimas de los árboles y los sacuden, del mismo modo la falange de los beatos fue abatida por el invierno: las plantas nobles; el adorno del paraíso; las raíces de nuestro florecimiento; los hoplitas de Pablo y los lanceros de Cristo; los derrocadores de los altares de sacrificios; los constructores de iglesias. Ellos fueron reclutados para luchar contra los bárbaros y librar el combate contra el enemigo común de la humanidad.

(**163, 20**) La muerte les sobrevino no por una necesidad violenta e inevitable, sino que más bien la posibilidad de salvarse estaba a su alcance, si hubiesen querido acobardarse con respecto a su postura. Había, efectivamente, un baño justo en las inmediaciones, cuya proximidad al lugar del castigo estaba hecha a propósito: la puerta estaba abierta y los presentes los invitaban. El tirano de astuta trapacería y sofista de la persecución ofrecía allí cerca a aquellos que estaban helados el cebo de la salida, y les recomendaba desertar por su salvación, como el padre de aquella que recomendó a nuestros primeros padres probar el fruto del árbol. Ellos, en cambio, se mantuvieron firmes sobre todo porque sabían que la perseverancia que en aquel momento les ofrecía la tortura, les preparaba al mismo tiempo el disfrute futuro en abundancia. En tiempos anteriores, Daniel,

el inspirado por Dios, así lo demostró, haciéndolo de manera fehaciente: invitado a llevarse a la boca alimentos, bebidas abundantes y dulces, con desprecio y rechazo de las ofertas de los ídolos prefirió el alimento de trigo. Ayunando, él estaba en su plenitud y, sin alimentarse, estaba mejor de salud que aquellos que viven voluptuosamente. Este regalo exclusivo de Dios se otorga como ayuda a los siervos fieles en sus tribulaciones más allá de toda esperanza.

(164, 9) No obstante, puesto que las envidias van unidas a los actos nobles, la noble cohorte corrió el peligro de ser destruida, y poco faltaba para que perdiéramos el conjunto de la cuarentena. Uno de ellos, pues, ya a un paso de la victoria, ¡qué lástima!, abandonó por causa del frío a los compañeros y, gracias a la astucia del tirano, entró en el baño: él escogió la vida terrenal al decidir no desprenderse de la carne corruptible. Él renunció a la esperanza y no alcanzó la vida eterna, acabando rápidamente con una marcha voluntaria. Judas, cobarde entre los mártires, al no ser discípulo ni hombre rico, acabó colgándose de una soga. Que nadie se maraville: es costumbre del diablo este tipo de engaño contra aquellos que a él se someten. Engaña y adula de muchas maneras para derrotarlo, y, una vez vencido, inmediatamente lo pisotea y se ríe del que yace. Se ufana en su desgracia, y se regocija con la vergüenza del engañado. Por este motivo el Salmista lo define enemigo y vengador aludiendo a la manera inconstante de su modo de obrar mediante la oposición de los términos. Nunca es ni un aliado ni un confidente para el hombre: finge su amistad, para ponerse, cuando le conviene, una máscara de engaño.

(165, 2) Sin embargo, el protector de nuestra debilidad y el agricultor de nuestros bienes, palabras y acciones, encontró para sí mismo, como en la historia de Abraham, una oveja para el sacrificio propiciatorio entre sus enemigos, como un confesor entre los blasfemos y como un mártir entre el cuerpo de los perseguidores. Pues, uno de los verdugos de la tiranía, en efecto, fue honrado con la visión de los ángeles que se congregaban sobre los mártires y asistió a la

epifanía de espíritus santos, como le pasó en aquel entonces a Pablo, que vio la gloria de Cristo cuando caminaba hacia Damasco. Así, tras haber cambiado inmediatamente de opinión y haberse quitado la ropa, se unió a los que estaban pasando frío.

Todo se juntó en el momento preciso y de este modo él llegó a ser prosélito, confesor y mártir, lavándose en el baño de la regeneración en la propia sangre de Cristo, es decir, en la sangre de alguien que ha sido sacrificado y que no ha muerto. Este hombre fue coronado y se convirtió en digno de todo honor: gracias a este, yo enumero cuarenta hombres para la Iglesia de Dios. Debido a este valiente, el contingente de los mártires no está mermado; gracias a este prosélito hacemos este panegírico perfecto para un número perfecto. Por su parte, el diablo fue objeto de escarnio y de burla: tras robar al soldado, fue privado, a su vez, del perseguidor y verdugo.

(165, 20) ¿Cuáles fueron los hechos que sucedieron? Los tres veces beatos alcanzaron lo que se propusieron llevar a cabo. El déspota de la venganza, no pudiendo soportar de buen grado la victoria de los mártires, atacó sus cuerpos ya cadáveres, ordenando que las moradas de las santas almas fueran entregadas a las llamas. Por su comportamiento imitaba a las bestias salvajes y a los hombres crueles, pues aquellas destrozan la ropa que les han lanzado los hombres que huyen cuando les persiguen, mientras que estos queman y derriban las casas de los malvados que huyen.

Uno de los testigos se dirigió a él: "ya no temo en absoluto tu crueldad, estulto. Tuve miedo mientras las almas todavía estaban unidas a aquellos que padecían, no fuera que la desmesura de la tortura venciera la valentía de los piadosos. Al haber pasado ya el miedo, sírvete de la arcilla que queda como quieras: aunque devoraras sus carnes no me importa. Cuanto más muestres tu crueldad despiadada, tanto más muestras la victoria de aquellos que mueren con coronas. Los ataques valientes contra los oponentes se convierten en

demostraciones excelentes de los que eran superiores". ¿Por qué nos demoramos tanto sobre estos temas? Los cuerpos han sido consumidos por las llamas, y el fuego ha aguardado estos restos. Hemos distribuido aquella ceniza y las reliquias de la pira, y la tierra entera alaba a estos restos santificados. Yo también coloqué una parte del don y los restos mortales de mis padres junto con las reliquias de los soldados, para que despierten en el día de la resurrección junto con los honradísimos guerreros.

(166, 12) Soy consciente de lo valientes que fueron y he sido testigo de las pruebas evidentes de su trato íntimo con Dios; por eso deseo hacer mención de uno de los milagros efectuados por su intercesión. Cerca del pueblo, en el cual los restos mortales de estos tres veces beatos descansan, hay una pequeña ciudad vecina que llaman Ibora. Aquí, según la praxis legislativa de los romanos, al redactarse un registro de los soldados, uno de los hoplitas fue enviado por el comandante para defensa de la aldea, a fin de que se contuvieran los impulsos y los ardores de sus subordinados, es decir, las cosas que solían infligir temerariamente los soldados en campaña a los campesinos. Este hombre sufría de uno de los dos pies y renqueaba; su dolor era crónico e incurable.

Una vez que entró dentro del *martyrium* y en el lugar de descanso de los santos, pidiendo ardientemente a Dios, invocó la intercesión de los mártires. Luego, por la noche, se le apareció un hombre de aspecto venerable, diciéndole entre otras cosas: "¡oh soldado", dijo, "cojeas y necesitas una cura? Dame tu pie para que lo toque". Habiendo recibido este sueño, el soldado se agitaba violentamente. Con esta visión nocturna, esta aparición produjo un ruido tan fuerte como el de un hueso que volviera a su posición natural, enderezado de manera violenta. En aquel momento, el soldado y los hombres que descansaban junto a él se despertaron y se levantaron rápidamente y él empezó a andar como una persona sana, normalmente, tal como se acostumbra. Yo vi con mis ojos este milagro, ya que por casualidad estaba junto al hombre que comenzó entonces a

proclamar a todos el milagro realizado por los mártires y a alabar la magnanimidad de sus compañeros de armas.

(167, 10) Si es necesario añadir algo, particularmente sobre lo que me concierne, lo haré ahora mismo. Cuando estábamos a punto de concluir la primera celebración solemne para las reliquias y la urna funeraria iba a ser depositada en un recinto sepulcral, mi madre (pues ella estaba unida a Dios y había preparado la fiesta) insistió en que viniera para participar en la celebración de los festejos, aunque estuviera lejos, fuera muy joven y me encontrara todavía entre el grupo de los laicos. Como suele pasar en las situaciones impostergables, y por el hecho de que estaba ocupado, yo, insensato, acepté con desagrado el requerimiento tan tajante, culpando a mi madre por no haber organizado la celebración en otro momento, pero, a pesar de ello, apartándome así de mis muchos asuntos, me persuadió para que asistiera a la congregación.

(167, 19) Llegué al pueblo, en donde había una vigilia nocturna en el jardín y las reliquias de los santos estaban siendo honradas con salmos; entonces, a mí, que dormía cerca de allí en una habitación, se me apareció una visión de aquellas que sobrevienen en sueños: parecía que queríamos entrar en el jardín, donde se celebraba la vigilia nocturna. Cuando me acerqué, sin embargo, a la puerta, vi una multitud de soldados apostados en la entrada; ellos estaban todos de pie, blandían sus lanzas de forma amenazante e impedían que nadie entrara. Yo también habría sido atacado, si no fuera que uno, que parecía más amable, me apartó. Cuando me desperté del sueño y me di cuenta de que había descuidado la invitación, comprendí aquello que esta visión terrible de los soldados había querido decir: lloraba mi estupidez con muchos sollozos. Yo derramaba lágrimas amargas de dolor sobre la urna de las santas reliquias, para que Dios me tuviera en su gracia y los santos soldados me hicieran don de su perdón.

(168, 5) He mencionado esto con el propósito de persuadiros de que los mártires están vivos, y son los lanceros y comensales de Dios los que sirven y

adornan nuestra Iglesia hoy. El mismo *tessarakosté* es la más brillante y mejor conmemoración que contiene la memoria de los cuarenta mártires y, además, es el más distinguido de los meses, y ahora el terrible invierno ya no me parece tan duro: no me quejo de la inclemencia del tiempo presente, pues este, para mí, convertido en un arma del perseguidor, ha llevado a la perfección esta falange sagrada. Eso es así del mismo modo que la madre de los siete Macabeos, que, por el hecho de tener un alma que amaba más a Dios que a su propia carne, ni reprochó la crueldad del tirano Antíoco de Siria, ni se enojó por los castigos y las desgracias de los hijos (aceptó la reclusión como un beneficio y la pérdida de sus hijos como una ayuda), y tampoco Esteban lapidado consideró que estaba siendo herido, sino más bien que era vivificado. Por lo tanto, debemos agradecer a los que combatían contra Dios el buen resultado, ya que ellos fueron para nosotros los responsables de tales beneficios, aunque no actuaran obrando bien a propósito, sino luchando como enemigos.

Los enemigos, en efecto, benefician sin querer de un modo menos ignominioso que los amigos íntimos. El diablo más bien ayudó a Job en vez de hacerle daño; el rey de los asirios fue benefactor de Daniel; ¡que los tres jóvenes proclamen su agradecimiento al horno! ¡Qué Isaías, cortado por la mitad, alabe a los hebreos! ¡Que Zacarías sacrificado bendiga a sus asesinos de pie entre el templo y el altar! ¡Que Juan proclame la magnanimidad de Herodes con la cabeza cortada! ¡Que los Apóstoles bendigan a aquellos que los ataron y los fustigaron, y que todos los mártires amen a sus perseguidores! Si aquellos no hubiesen abierto el estadio, los atletas no habrían podido demostrar públicamente su valor.

(169, 5) ¿Qué más podría añadir alguien a las alabanzas que he hecho precedentemente para celebrar a estos héroes? ¿Su número, su valor o su incondicional unión? No seamos insensibles ni ingratos, en primer lugar, sobre la cantidad. Aquel que tiene tantos intercesores, nunca se irá sin que su oración y su súplica no hayan sido efectivas, a menos que no la haya entorpecido por sus

pecados. Dios es testigo de este pensamiento y de esta esperanza en la conversación con Abraham, cuando aceptó su suplica a favor de los sodomitas de encontrar no cuarenta justos, sino como mínimo diez, que intercedieran para que la ciudad no fuera destruida. Nosotros, según las palabras del Apóstol, teniendo alrededor nuestro una gran nube de mártires, proclamémonos bienaventurados alegrándonos en la esperanza, siendo constantes en la oración y en la conmemoración.

Los cuarenta mártires son poderosos defensores contra nuestros enemigos y fiables intercesores de nuestra súplica ante el Señor. Que el cristiano muestre valor confiando en su esperanza, cuando el diablo trame sus tentaciones, y los hombres malvados le ataquen, los tiranos hiervan de cólera, la mar se vuelva furiosa, la tierra no aporte aquello que se le ordenó producir para los hombres y el cielo amenace desgracias. Pues el poder de estos basta para cualquier necesidad, circunstancia y situación, porque ha recibido la gracia de Cristo. A Él conviene toda gloria por los siglos de los siglos. Amén.

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΤΕΣΣΑΡΑΚΟΝΤΑ ΜΑΡΤΥΡΑΣ ΛΟΓΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ ΡΗΘΕΙΣ ΕΝ ΤΩΙ ΜΑΡΤΥΡΙΩΙ

773 M

Οἱ μὲν ὁπλῖται Ῥωμαίων κατὰ νόμον πάτριον καὶ συνήθειαν παλαιάν, ἣν παῖδες παρὰ προγόνων διαδεξάμενοι μέχρι καὶ τοῦ παρόντος φυλάττουσιν, ἐν τῇ ἀρχῇ τοῦ ἐνεστῶτος μηνὸς τὴν πανοπλίαν ἐνσκευαζόμενοι καὶ χωροῦντες ἐπί τι πεδίον ἡπλωμένον ἱκανῶς καὶ ὕπτιον, ἔνθαπερ ἔξεστι καὶ δρόμον ἵππων ἐκτεῖναι καὶ μελετῆσαι τὰ τακτικὰ καὶ πᾶσαν γυμνασθῆναι τὴν ἐνόπλιον ἄσκησιν, ἀνάμνησίν τε τοῦ ἔτους ποιοῦνται καὶ τὴν ἡμέραν ἐπίσημον ἄγουσιν. ἐγὼ δὲ μνήμην μαρτύρων τελῶν, καὶ ταύτην τῇ προτεραίᾳ κηρύξας ὑμῖν, τοὺς τοῦ Χριστοῦ στρατιώτας τοὺς τεσσαράκοντα τοὺς πᾶσαν προθυμίαν ὑπερβαλλομένους ἐν τοῖς ἀγῶσιν ὁπλίσας διὰ τῆς μνήμης σήμερον θαυμαστοὺς τοῖς δυναμένοις βλέπειν προΐστημι· κόσμον τῆς ἐκκλησίας καὶ λαῶν εὐφροσύνην καὶ θεοῦ δόξαν τοῦ ἐνισχύσαντος. ἄριστον δὲ πάντως καὶ ἄγαν λυσιτελὲς τοῖς τῆς ἀρετῆς διηγήμασι τούς τε νέους ἐντρέφεσθαι καὶ συνακμάζειν τοὺς ἄνδρας. ἡ γὰρ ἀκοὴ μέρος καιριώτατόν ἐστι τῶν αἰσθήσεων καὶ τῆς ὄψεως οὐχ ἧττον διδακτικόν. διὰ γὰρ τῶν ὤτων ἐναργῶς ἐπεισάγει τὴν μάθησιν ταῖς ψυχαῖς· καὶ κίνδυνος οὐ μικρὸς καλὰ τυγχάνειν ἢ φαῦλα τὰ διηγήματα. οἷα γὰρ ἐκεῖνα λέγεται, τοιαύτην ἐπάναγκες τοῖς λογισμοῖς φαντασίαν ἐγγίνεσθαι· ἔννοια δὲ καὶ θεωρία τοῦ νοῦ συνεχὴς εἰς ἐπιθυμίαν ἄγει τὸν ἄνθρωπον τοῦ ποιεῖν, ἃ λογίζεται. διό μοι τὴν

Titulus ante Γρηγορίου add τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν B Γρηγορίου — Νύσσης: τοῦ αὐτοῦ D Γρηγορίου Νύσσης ἐπισκόπου P^b ante εἰς add ἐγκώμιον P^bB τοὺς — μάρτυρας: τοὺς αὐτοὺς D λόγος — μαρτυρίῳ om P^bB

DP^{b}B 5 δεξάμενοι P^b καὶ μέχρι Dv 6 ἐνεστῶτος om P^b σκευαζόμενοι B 8 πᾶσι B 10 ἐπίσημον ἄγουσιν: ἐπισυνάγουσιν B 11 ταύτῃ P^b κηρύξας del P^{b2} ἡμῖν P^b 12 τοὺς τεσσαράκοντα: τοὺς μ' Dv ὑπερβαλομένους Dv 14 λαὸν P^b εὐφρόσυνος P^b 17 γὰρ om v 18 οὐχ — διδακτικόν: οὐχὶ τῶν διδακτικῶν B ὤτων: ὄντων B 20 τοιαύτην: σοὶ αὐτὴν B 21 νοὸς P^bB

ἀκρόασιν γαληνιῶσαν καὶ ἀμετεώριστον εὐτρεπίσατε, ἵνα καὶ οἱ μακάριοι μάρτυρες τιμηθῶσι τὰ πρέποντα, καὶ ὑμεῖς διὰ τῆς μνήμης παιδευθῆτε τὸ εὐσεβὲς καὶ φιλόθεον.

Ἐμοὶ δὲ πρόκειται διπλοῦς ἀγών, καὶ δέος μὴ καθυβρίσωμεν τὴν ὑπόθεσιν ἀσθενείᾳ τῆς ἐξηγήσεως· εἴτε γὰρ ἐννοήσειέ τις αὐτοῦ τοῦ ἐν
776 M. χερσὶ πράγματος τὴν μεγαλοπρέπειαν, κατὰ παντὸς λόγου φέρει τὰ νικητήρια· εἴτε τὸν πρὸ ἡμῶν διὰ τῆς ἑαυτοῦ σοφίας στεφανώσαντα τοὺς ἁγίους· ἀνήρ, οὗ τὸ θαῦμα τῆς οἰκουμένης κοινόν· παιδείας τῆς τε παρὰ Χριστιανοῖς καὶ τῆς ἔξωθεν κανὼν ἀκριβής, φιλοσοφίας ἄγαλμα, ἐπισκόπων τύπος καὶ κίνδυνος, διδάσκαλος ἔργων καὶ λόγων σύμφωνος· παρὰ πᾶσιν ἀνθρώποις ἀνανταγώνιστον ἔχων τὴν εὐδοκίμησιν, πλὴν εἰ μὴ παρ' οἷς οὐδὲ Χριστός ἐστιν ἀβλασφήμητος. ὡς γὰρ οὐδεὶς ἀντιλέγει φωτίζειν καὶ θερμαίνειν τὸν ἥλιον, οὕτως οὐδὲ τὸν μέγαν Βασίλειον ἀντερεῖ τις μὴ παντὶ τῷ κάλλει τῆς ἀρετῆς κεκοσμῆσθαι. ὑψηλὸς μὲν οὖν τῶν ὑψηλῶν ἐπαινέτης, ἅγιος τῶν ἁγίων θεραπευτὴς κατὰ τὴν προσοῦσαν δύναμιν ἀποπληρώσας τοῖς ἀριστεῦσι τὸ γέρας. ἐμοὶ δὲ οὐ διὰ τοῦτο σιωπητέον, ἐπειδήπερ τὰ θαυμαστὰ μεγάλως ὁ προλαβὼν διεκήρυξεν. οὐ γάρ ἐστι νῦν ὁ σκοπὸς ἄμιλλα πρὸς τὸν προειρηκότα, ἀλλ' ὑμῶν τῆς τῶν ἀκουόντων ὠφελείας ἐπιμέλεια· ὠφελεῖ δὲ ἕκαστος πάντως ὡς δύναται τῆς ἀπολαύσεως τῶν μειζόνων παρὰ τῶν πλουσιωτέρων χορηγουμένης.

Στρατιῶται μὲν οὖν οἱ τεσσαράκοντα τοῦ βίου τὴν τάξιν βασιλεῖ τῶν Ῥωμαίων ὁπλιτεύειν λαχόντες, Χριστιανοὶ δὲ τὴν πίστιν καὶ εὐσεβεῖς τὴν θρησκείαν. ἐπειδὴ δὲ ὁ τηνικαῦτα κρατῶν εἷς ὢν τῶν πολυθέων (δαιμόνων αὐτῷ τὸ πικρὸν ὑποθεμένων ἐκεῖνο βούλευμα) καινῷ νόμῳ καὶ γράμματι Χριστιανοὺς ἤλαυνε, κελεύσας πάντας τοὺς ὑπηκόους ἢ τὸ λιβανωτὸν ἐναγίζειν τοῖς δαίμοσιν ἢ τοῦτο μὴ ποιοῦντας θανάτῳ καταδικάζεσθαι καὶ πρό γε τῆς τελευτῆς παντὶ τῷ σώματι πολλὰς ὑπομένειν τὰς λώβας· τότε δὴ τότε τὴν τυραννικὴν ὠμότητα καὶ τὸν μισόθεον νόμον ἀνδραγαθίαν ἑαυτῶν οἱ μακάριοι ποιησάμενοι, καὶ τῶν ἄλλων μὲν ἀπορραγέντες στρατιωτῶν, φάλαγγα δὲ ἐξαίρετον καὶ φιλόχριστον συγκροτήσαντες τῇ δυνάμει στρατηγουμένην τοῦ πνεύματος φανερῶς ἑαυτοὺς τοῖς μιαροῖς ἀντικατέστησαν γράμμασι· καὶ συμ-

---

DP^{b}B 1 γαληνῶσαν v 4 καὶ om B καθυβρίσω μὲν v 5 ante ἀσθενείᾳ add τῇ Dv 10 ἀκίνδυνος P^{b}B ἔργῳ καὶ λόγῳ B 11 συμφώνως P^{b} 14 μέγα P^{b}B κεκομῆσθαι P^{b} 19 εἰρηκότα Dv 20 πάντων B 25 ὑποθέμενοι P^{b} κοινῷ P^{b}B 26 πάντα P^{b} 27 ἐναγιάζειν B 30 ἀνδραγαθίας v 31 μὲν om P^{b}B ἀπορραγέντων P^{b}B δε om v 31-32 καὶ φιλόχριστον om P^{b} 33 ἀντεκαθέστησαν P^{b} σύμφωνον Dv

φώνως πάντες, ὡς ἐκ μιᾶς γλώττης, τὴν πίστιν ἡμῶν ἐξεβόησαν μικρὸν φροντίζειν λέγοντες τῆς προσκαίρου ταύτης ζωῆς καὶ παρέχειν ἔκδοτα τὰ σώματα ποικίλαις κολάσεων ἰδέαις. ὁ τοίνυν τοῦ βιαίου νόμου τυραννικώτερος ὑπηρέτης καταμαθὼν τῶν ἁγίων τὴν ἔνστασιν ἰσόρροπον ἔσπευσε μηχανήσασθαι τῆς προθυμίας τὴν τιμωρίαν, καὶ ψυχαῖς ἀνενδότοις καινὴν καὶ παράδοξον ἐπινοήσας δειλίαν. ἂν τὸ ξίφος αὐτοῖς ἀπειλήσω, φησί, μικρὸς εἰς κατάπληξιν ὁ φόβος, καὶ οὐδαμῶς ὑποκύψουσιν· ἄνδρες γάρ εἰσιν ἐν ὅπλοις ἐκ παίδων ζήσαντες καὶ σίδηρον φέρειν εἰθισμένοι. ἐὰν ἄλλας αὐτοῖς προσαγάγω κολάσεις, γενναίως ἐγκαρτερήσουσιν οὐκ ἀπείρως ἔχοντες πληγῶν καὶ τραυμάτων· οὐδὲ τὸ πῦρ ἐστι φοβερὸν τοῖς ἐνστατικῶς ὡς οὗτοι διακειμένοις. διὸ προσῆκεν ἐξευρεθῆναι τιμωρίαν, ἣ καὶ τὴν ἐνέργειαν ἕξει τῆς ἀλγηδόνος ὀδυνηρὰν καὶ τὸν χρόνον μακρὸν καὶ παρέλκοντα. τί οὖν ἐπιμελῶς ἐβουλεύσατο κατὰ τῶν ἁγίων ὁ τῶν κακῶν σοφιστής; καὶ μεριμνήσας εὗρεν ἐναέριον 777 M. κίνδυνον, ὃν πρόχειρον αὐτῷ παρεῖχεν ὁ καιρὸς καὶ ἡ χώρα. ὁ μὲν γὰρ καιρὸς ἦν χειμών· ὁ δὲ τόπος Ἀρμενία, ἡ πρόσοικος χώρα, ὡς ἴστε, δυσχείμερος· οὐδὲ τὴν τοῦ θέρους ὥραν ἀλεεινὴν τοῖς ἐνοικοῦσι παρέχουσα, ἀλλὰ τοσοῦτον ἀγαπητῶς θαλπομένη, ὅσον ἐκθρέψαι τὸν ἄσταχυν· ἀμπέλου δὲ τὸ φυτὸν παρ' αὐτοῖς καὶ ἠγνόηται· καὶ ὁ μὴ μακρὰν ἐκδημήσας βότρυν οὐκ οἶδεν· ἐρωτᾷ δὲ περὶ σταφυλῆς οὗτος, ὡς ἡμεῖς περὶ τῶν παρ' Ἰνδοῖς γινομένων. ἐκεῖ χιόνος οὔσης ἀνατέμνει τὴν γῆν ὁ σπείρων, καὶ τὸν ἄμητον καταλαμβάνει νιφάς· καὶ τὸν θεριστὴν ἀποδύουσιν ἄνεμοι, ἂν μὴ σφόδρα καταδήσας ἑαυτὸν τοῖς ἱματίοις πρὸς τὴν βίαν τῶν πνευμάτων διαγωνίσηται. μετόπωρον δὲ καὶ ἔαρ σχεδὸν οὐκ εἰσὶν ὡς παρὰ κακοῦ γείτονος τοῦ χειμῶνος πρὸς τὴν ἐκείνου δυναστείαν παρασυρόμενα.

Ἐπ' ἐκείνης τοίνυν τῆς χώρας καὶ τοῦ ἐνεστῶτος μηνὸς ἀποδύσας τοὺς ἁγίους ὑπαιθρίους ἔστησεν ἐν ὁλογύμνοις τοῖς σώμασιν ἐξ ἐναντίας τοῦ βασιλέως τῶν Ἀσσυρίων καὶ τῆς Βαβυλωνίας καμίνου τοὺς τῆς εὐσεβείας μαθητὰς ἀμυνόμενος. οὐδὲν δὲ παραπλήσιον εἰς ἀλγηδόνα πῦρ φλέγον καὶ κρυμὸς συμπηγνὺς καὶ μαραίνων· τὸ μὲν γὰρ τῷ σιδήρῳ προσῆκεν ὀξέως ἄγον ἐπὶ τὸν θάνατον· τὸ δὲ τὴν ὀδύνην ἔχον

28sqq cf Dan 3,1sqq

DP^{b}B 4-5 expl. fol. 151v B 7 ὑποκύψωσιν P^b 8 ἔνοπλοι P^b σιδηροφορεῖν P^b 11 post διὸ add καὶ P^b 17 δυσχειμέριος P^b post ὥραν add θέρμην P^b 18 θαλπομένην P^b 21 ὑμεῖς P^b 23 ἀνέμου P^b ἑαυτῶν P^b 24 δὲ om P^b 25 ὡς παρὰ: ὥσπερ P^b 31 κρυμμὸς D κρυγμὸς P^b

ἰσόρροπον παρατείνει τὴν τελευτήν. ἀργότερα γὰρ καθόλου τὰ ὑπὸ ψυχροῦ γινόμενα πάθη, οἷον τεταρταῖοι καὶ καρκῖνοι καὶ ἄνθρακες καὶ ὅσα φιλοσοφοῦντες ἰατρικοὶ τὴν ψυχρὰν ὕλην ἀπεφήναντο τοῖς σώμασιν ἐμποιεῖν. οὕτως οἱ ψυχρότεροι καὶ πιμελώδεις νωθρότεροι καὶ δύσχρηστον ἔχοντες τὸ σωμάτιον· καὶ τὰ ἄλογα δὲ τῶν ζῴων ὁμοίως. τὰ μὲν θερμότερα ταχέα καὶ πρὸς τὴν ἐπείγουσαν χρείαν εὐκίνητα· τὰ δὲ ἐναντίως ἔχοντα βραδέα καὶ νάρκῃ πεπεδημένα. οὕτως ἵππος ταχὺς συριγμῷ πρὸ τῆς μάστιγος διεγειρόμενος πρὸς τὸν δρόμον· βραδὺς ὁ ὄνος καὶ μόλις διὰ τῶν ῥοπάλων τὴν ὁδοιπορίαν ἀνύων. ὀξεῖα ἡ πάρδαλις ξηρῷ καὶ θερμῷ τῷ σώματι διιπταμένη τὰς νάπας· ἡ ἄρκος τὸ ἀνάπαλιν παχυτέροις τοῖς μέλεσιν ἐμβραδύνουσα. ταῦτα δὲ ὑμῖν οὐκ ἀπὸ καιροῦ ἐφυσιολόγησα, ἀλλ' ἵνα τὴν καρτερίαν τῶν ἀνδρῶν καταμάθητε τὸν τρόπον τῆς τιμωρίας ἐπισκεψάμενοι. χειμὼν ποιεῖ ποταμοὺς ναυσιπόρους πεζεύεσθαι καὶ ὕδωρ τὸ ῥέον εἰς τὴν τῶν λίθων μεταβάλλει σκληρότητα· καὶ πέτρας διαλύει, ὅταν τοῦ βάθους καθίκηται· καὶ τοῖς ἐναντίοις σώμασιν ἐξίσης λυμαίνεται, τὰ μὲν ἁπαλὰ λιθοποιῶν, τὰ δὲ σκληρὰ διαλύων. οὕτως ὁ οἶνος, ὅταν παγῇ, μορφοῦται πρὸς τὸν περιέχοντα πίθον, καὶ τὸ ἁπαλὸν ἔλαιον ἵσταται στερεὸν πρὸς τὸν τύπον τοῦ ἀγγείου σχηματισθέν· ἡ ὕελος δὲ καὶ τὸ ὄστρακον περιῤῥαγέντα τοῖς ὑγροῖς διαθρύπτεται. ζῷα δὲ τὰ τὴν ὄρειον ζωὴν λαχόντα καὶ ὕπαιθρον τὰ μὲν διόλλυται, τὰ δὲ τῇ ὑπερβολῇ τοῦ κακοῦ ἐπιλανθάνεται καὶ τῆς ἀγριότητος· ἔλαφοι γὰρ καὶ δορκάδες ἐν μάνδραις αὐλίζονται οὔτε κύνας τότε δειλιῶσαι οὔτε τοὺς ἐγγίζοντας ἀποφεύγουσαι. τὸ γὰρ μεῖζον ἀεὶ δεινὸν τῶν ὑποδεεστέρων φόβων τὴν δειλίαν
780 M. ἐκβάλλει. ὄρνιθες δὲ παρ' ἀνθρώποις εἰσοικίζονται καὶ μένουσιν ὑπωρόφιοι. ἄνθρωποι δὲ πότον ὀρύττουσι καὶ λιθουργοῖς ὀργάνοις τὸ ὕδωρ κόπτουσι· καὶ οἱ πλησίον ἀλλήλοις οὐκ ἐπιμίγνυνται. ὁ τοιοῦτος καιρὸς ὅπλον τῷ τυράννῳ κατὰ τῶν μαρτύρων ἐγένετο. ἔδει γάρ, ὡς ἔοικε, τὴν μεγάλην καὶ σύμφωνον τῶν μακαρίων φάλαγγα καινῷ τρόπῳ τιμωρίας ἐναγωνίσασθαι, ἵνα πρὸς τοὺς πολλοὺς τῶν μαρτύρων ἀσύγκριτον κτήσωνται τῆς εὐσεβείας τὴν δόξαν. ἔστησαν οὖν καὶ ἐπήγνυντο

DP^{b}BC^{o} 3 ἰατρικοὶ — ἀπεφήναντο om P^{b} ante τοῖς add οἱ P^{b} 4 ἐπιμελῶδης P^{b} νοθέστεροι P^{b} 6 ταχεῖα P^{b} 7 βραδεῖα P^{b} 8 πρὸ: πρὸς P^{b} 9 ὁδοπορίαν P^{b} 10 ξηρῷ: ὑγρῷ P^{b} ἄρκτος v 11 δὲ om P^{b} 14 πεζεύγεσθαι P^{b} μεταβάλλεις P^{b} 19 τόπον v τὸ om v περιραγέντα P^{b} 21 ὕπιθρον P^{b} διώλλυνται P^{b} 24 τὸν ὑποδεέστερον φόβον P^{b} ante τὴν add καὶ P^{b} 25 παρὰ P^{b} inc fol 152 B, inc fol 311 C^{o} 26 πόντον Dv ante ποτὸν (sic) add τὸν C^{o} 28 ἐγίνετο B ἔδει om P^{b} (distinx post μαρτύρων P^{b}) 30 ante τιμωρίας add τῆς C^{o} ἀσυγκρίτως P^{b}

τὰ μέλη τρέμοντες καὶ τὴν γνώμην ἀκλόνητοι, θέαν παρέχοντες ἐναγώνιον ἀγγέλοις ἀνθρώποις δαίμοσι. ἄγγελοι μὲν τὸν χωρισμὸν τῶν ψυχῶν ἀνέμενον, ἵνα παραλαβόντες αὐτὰς πρὸς τὸν ἴδιον ἀναγάγωσι κλῆρον. ἄνθρωποι δὲ τὸ τέλος ἐκαραδόκουν τῆς κοινῆς φύσεως τὴν δύναμιν δοκιμάζοντες, εἰ διὰ φόβον καὶ ἐλπίδα τοῦ μέλλοντος τηλικούτων κατευμεγεθεῖν ἀλγηδόνων ἰσχύοιμεν. δαίμονες δὲ σφόδρα προσεῖχον τοῖς γινομένοις ἐπιθυμοῦντες ἰδεῖν τὴν πτῶσιν τῶν ἀθλητῶν καὶ τὴν πρὸς τοὺς κινδύνους ἄνανδρον ἀπαγόρευσιν. ἡ δὲ ἐλπὶς αὐτῶν κατῃσχύνθη διὰ τὸν ἐνδυναμοῦντα θεόν. ἔβλεπον γὰρ τοὺς ἀκρωτηριασμούς, καὶ τοὺς ἰδίους ἕκαστος καὶ τοὺς ἀλλήλων οἱ πάντες. ὁ μὲν ἔκειτο ποδὸς ἢ δακτύλων περιρρυέντων· ἄλλος ἔκειτο τῆς ἐμφύτου θερμότητος καταψυχθείσης εἰς τέλος. ὥσπερ δὲ οἱ σφοδρότατοι τῶν ἀνέμων τόπον ἐπιπνεύσαντες σύμφυτον, εἶτα τὰ ὑψηλὰ τῶν δένδρων κατασείσαντες εἰς γῆν καταφέρουσι πρόρριζα, οὕτως ἐστορέσθη παρὰ τοῦ χειμῶνος ἡ τῶν μακαρίων παράταξις· τὰ εὐγενῆ φυτά· τοῦ παραδείσου τὸ ἐγκαλλώπισμα· αἱ ῥίζαι τῆς ἡμετέρας βλαστήσεως· οἱ Παύλου ὁπλῖται· οἱ Χριστοῦ δορυφόροι· οἱ τῶν βωμῶν καταλύται· οἱ τῶν ἐκκλησιῶν οἰκοδόμοι· οἱ κατὰ βαρβάρων ὁπλιτεύειν ἀπογραψάμενοι καὶ πρὸς τὸν κοινὸν ἐχθρὸν τῆς ἀνθρωπότητος τὸν ἀγῶνα τελέσαντες.

Ἐγένετο δὲ αὐτοῖς οὐ πρὸς βίαν καὶ ἀπαραίτητον ἀνάγκην ὁ θάνατος, ἀλλὰ καὶ μᾶλλον πρόχειρος ἦν καὶ ἐπ' ἐξουσίας ἡ σωτηρία, εἰ μαλακισθῆναι πρὸς τὴν ἔνστασιν ἠβουλήθησαν. λουτρὸν γὰρ ἦν ἐκ τοῦ σύνεγγυς, ὅπερ ἐγειτνία κατ' ἐπίνοιαν τῷ τόπῳ τῆς τιμωρίας· καὶ ἡ θύρα ἠνέῳκτο, καὶ οἱ παρεστῶτες ἐκάλουν. σοφιστὴς γὰρ ὢν διωγμοῦ καὶ ποικίλης ῥᾳδιουργίας ὁ τύραννος ἐγγὺς τὸ δέλεαρ τῆς παραβάσεως τοῖς πηγνυμένοις παρέθηκε καὶ συνεβούλευε πρὸς τὴν θεραπείαν αὐτομολῆσαι, ὡς ὁ πατὴρ αὐτοῦ τοὺς πρωτοπλάστους εἰς τὴν γεῦσιν τοῦ

1-2 cf I Cor 4,9 26-27 cf Gen 3,1sq

DP^{b}BC^o 1 ἀκλόνητον DBv post ἀκλόνητον add ἔχοντες Dv 2 ἀγγέλοις — δαίμοσι om B ante δαίμοσι add καὶ v post μὲν add γὰρ C^o 3 ἀνάγουσιν P^b 5 φόβου C^o 6 ἰσχύωμεν P^b ἰσχυ.σιν C^o δαίμωνας P^b 7 τὴν om libri add v 8 ἄνανδρον om B ἀπαγορεύσουσιν P^b 9 ante γὰρ add μὲν C^o 10 ἀλλήλους P^b 11 ἔκειτο (post ἄλλος): ἔπιπτεν C^o ante τῆς add τὸ P^b 12 δὲ om C^o σφοδρωτάτου B 14 ἐστορίσθη P^b ἐστορέ[σ]θη v 15 post παραδείσου add τοῦ γένους (interpunx post παραδείσου) Dv 17 καταλυταὶ v 18 ἀποταξάμενοι B 20 ἐγίνετο Dv 21 μάλα Dv μα... (littera postrema ν fuisse videtur) C^o πρόχειρος ἦν: προχείρωσιν P^b ἐπεξούσιος B εἰ: ἢ P^{b}B post εἰ add καὶ Dv 22 ἐβουλήθησαν C^o 24 οἱ om Dv 26 συνεβούλευσεν P^{b}B 27 ἐν τῇ γεύσει B

ξύλου. οἱ δὲ τότε καὶ μᾶλλον τὴν ἀνδρείαν ἐπέτεινον εἰδότες, ὡς καρτερία τηνικαῦτα παρέχει τὴν βάσανον, ἡνίκα ἂν προκειμένης ἐν ἐξουσίᾳ τῆς ἀπολαύσεως φείσηται· ὅπερ ἐν τοῖς ἀνωτέροις χρόνοις Δανιὴλ ὁ θεσπέσιος πεποιηκὼς ἐπιδέδεικται· παρακαλούμενος γὰρ ἄφθονα καὶ ἡδέα σῖτα καὶ ποτὰ προσφέρεσθαι μίσει καὶ ἀποστροφῇ τῶν εἰδωλοθύτων τὴν σπερμοφαγίαν ἠγάπησε· καὶ νηστεύων ἤνθει καὶ ἀσιτῶν ὑπὲρ
781 M. τοὺς τρυφῶντας εὔσαρκος ἦν· θεοῦ γὰρ τοῦτο δῶρον ἐξαίρετον τοῖς πιστοῖς δούλοις ἐν ταῖς ἀπορίαις τὰ παρ' ἐλπίδα χαρίζεσθαι.

Πλὴν ἐπειδὴ τοῖς ὑψηλοῖς τῶν πραγμάτων οἱ φθόνοι παραπεπήγασιν, ἐκινδύνευσε λωβηθῆναι τὸ μακάριον σύνταγμα, καὶ μικροῦ δέοντος ἀπωλέσαμεν τῆς τετάρτης δεκάδος τὸ πλήρωμα. εἷς γὰρ ἀπαγορεύσας διὰ τὸν κρυμὸν πρὸς αὐτῷ τῷ τέλει τῆς νίκης, οἴμοι, τοὺς μὲν συστρατιώτας ἀφῆκε, τῇ τέχνῃ δὲ τοῦ τυράννου προσεχώρησε τῷ λουτρῷ ἤδη τῆς σαρκὸς μαρανθείσης φεισάμενος ὁ φιλόζωος· τῆς τε γὰρ ἐλπίδος ἐξέπεσε καὶ τῆς προσκαίρου ζωῆς οὐκ ἐπέτυχεν εὐθὺς ἐπιτελευτήσας τῇ παραβάσει· Ἰούδας ἄθλιος ἐν τοῖς μάρτυσιν, οὔτε μαθητὴς οὔτε πλούσιος καὶ πρός γε τὸν βρόχον ἐφελκυσάμενος. καὶ θαυμάσῃ μηδείς· σύνηθες γὰρ τῷ διαβόλῳ κατὰ τῶν ὑποκυπτόντων αὐτῷ τὸ τοιουτότροπον ῥᾳδιούργημα· ἀπατᾷ καὶ κολακεύει ποικίλως, ἵνα ῥίψῃ· ῥίψας δὲ εὐθὺς ἐπεμβαίνει καὶ τοῦ κειμένου καταγελᾷ. ἐπικομπάζει δὲ τῇ συμφορᾷ τὴν αἰσχύνην καὶ τῇ αἰσχύνῃ τοῦ δελεασθέντος εὐφραίνεται. διὸ καὶ ὁ ψαλμῳδὸς Ἐχθρὸν καὶ ἐκδικητὴν προσηγόρευσε τὸ τοῦ τρόπου παλίμβολον ἐκ τῆς τῶν ὀνομάτων σημαίνων ἐναντιότητος. ἀνθρώπῳ γὰρ ἐκεῖνος οὐδέποτε γίνεται ἔνσπονδός τε καὶ φίλιος· ὑποκρίνεται δὲ

2sqq cf Dan 1,8sq 22 Ps 8,3

DP^{b}BC^o 1 εἰδόντες P ἰδόντες B post ὡς add et iterum del ὁ πατὴρ αὐτοῦ (ex lin 163,27) B 2 ἐν om P^b 2-3 ἐξουσίᾳ τῆς om P^{b}B 3 ἀνωτέρω (ut vid) C^o 5 μισεῖ καὶ ἀποστρέφει P^b 6 ἄσιτος P^b 7 γὰρ om P^{b}B τοῦτο: τὸ C^o 8 τὰ: ταῖς P^b παρ': περ B ἐλπίδας C^o 10 κολοβοθῆναι P^b λωβοθῆναι B σύστημα P^{b}B δὲ ὄντως P^b δεόντως B 12 διὰ: πρὸς C^o κρυμμὸν D αὐτὸ τὸ P^b στρατιώτας P^{b}C^o 14 φεισάμενος: ἧς φαλισάμενος P^b τε om P^b post φιλόζωος inc fol. 312 col. sinistra, cuius linearum ultimae 5-7 litterae abscisae sunt C^o ἐλπίδος: ἐπ' ἐλπίδι ἀληθινῆς καὶ μενούσης ζωῆς B 15 εὐθὺς: εὐθέ[.. C^o 16 post Ἰούδας add ὁ P^b ἄθλιος: ὁ δόλιος C^o 17 ante θαυμάσῃ add μὴ Dv θαυμάσει P^{b}BC^o 18 τῷ τοιούτῳ τρόπῳ P^{b}B 19 ante ῥαδιούργημα add τὸ B ῥίψῃ om B δὲ eras B^2 20 ἐπικοπάζῃ B ἐπικωμάζει DP^{b}C^{o}v, correxi 21 τὴν αἰσχύνην om P^{b}B et ut vid C^o (δὲ τ.[.....] καὶ τῇ) 22 προηγόρευσεν B 23 πάλιν βίον B τῆς [.....]νομάτων C^o ἀνθρώπων Dv 24 ἔμσπονδος D (fort corr D^2) ἐνσποδὸς B ἐνσποδός sscr v C^o φίλιος: φίλος B

τότε τὸ φίλιον, ὅταν αὐτῷ θελήσῃ προσωπεῖον ἀπάτης ἐνδύσασθαι. ἀλλ' ὁ τῆς ἀσθενείας τῆς ἡμετέρας ἐπίκουρος καὶ τῶν ἀγαθῶν καὶ λόγων καὶ πράξεων γεωργὸς εὗρε κατὰ τὸν Ἀβραὰμ ἑαυτῷ πρόβατον εἰς θυσίαν ἐκ τῶν πολεμούντων οἰκεῖον, ἐκ τῶν βλασφημούντων ὁμολογητὴν καὶ ἐκ τοῦ συντάγματος τῶν διωκόντων μάρτυρα. εἷς γὰρ τῶν τῆς τυραννίδος δημίων ὀπτασίας ἀγγέλων ἀξιωθεὶς τῶν ἐλθόντων ἐπὶ τοὺς μάρτυρας καὶ περιλαμφθεὶς τῇ ἐπιφανείᾳ τῶν ἁγίων πνευμάτων, ὥς ποτε Παῦλος τῇ δόξῃ Χριστοῦ, ἡνίκα τὴν ἐπὶ Δαμασκὸν ἐπορεύετο, εὐθὺς τὴν γνώμην μετέθετο καὶ γυμνώσας ἑαυτὸν τῆς ἐσθῆτος τοῖς πηγνυμένοις συνανεμίχθη. πάντα δὲ ἐν ὀλίγῃ καιροῦ ῥοπῇ συνάψας ἐγένετο, προσήλυτος ὁμολογητὴς μάρτυς, λουσάμενος ἐν τῷ ἰδίῳ αἵματι τὸ τῆς παλιγγενεσίας λουτρόν, αἵματι τῷ νεκρωθέντι καὶ μὴ ῥεύσαντι· ἀνὴρ στεφανίτης, ἀνὴρ τοῦ παντὸς ἄξιος· τῇ τοῦ θεοῦ ἐκκλησίᾳ δι' ἐκεῖνον ἔχω τοὺς τεσσαράκοντα· διὰ τὸν γενναῖον οὐ κολοβὸς ἡ τῶν μαρτύρων παράταξις. διὰ τὸν προσήλυτον τελείαν ἄγομεν ἐπ' ἀριθμῷ τελείῳ πανήγυριν. ὁ δὲ διάβολος χαρίεν ἔπαθεν πρᾶγμα καὶ γέλωτος ἄξιον· ὡς γὰρ ἔκλεπτε τὸν στρατιώτην, ἐσυλήθη τὸν διώκτην καὶ δήμιον.

Εἶτα τί τὰ ἐπὶ τούτοις; οἱ μὲν τρισμακάριοι ἔφθασαν, ὅπου ἔσπευδον. ὁ δὲ τῆς τιμωρίας κύριος οὐκ ἐνεγκὼν ἀνεκτῶς τῶν μαρτύρων τὴν νίκην τοῖς νεκροῖς ἐπολέμει σώμασι, κελεύσας πυρὶ παραδοθῆναι τὰς οἰκίας τῶν ἁγίων ψυχῶν· καὶ δι' ἑνὸς πράγματος ἐμιμεῖτο ἄγρια θηρία καὶ πικροὺς ἄνδρας. τὰ μὲν γὰρ τῶν διωκομένων ἀνθρώπων φυγόντων τὴν προριφθεῖσαν αὐτοῖς ἐσθῆτα σπαράττει, οἱ δὲ τῶν δυσμενῶν ἀναχωρησάντων τὰς οἰκίας ἐμπιπρῶσι καὶ καταλύουσι. καί τις ἂν τῶν μαρτύρων εἶπεν ἐνδίκως πρὸς αὐτόν· Οὐκέτι σου, μάταιε, δειλιῶ τὴν ὠμότητα. ἐφοβούμην γὰρ μέχρις αἱ ψυχαὶ συμπαρῆσαν τοῖς πηγνυμένοις, μὴ τὸ

784 M.

3-4 Gen 22,1sqq 8sq cf Act 9,1sq 11-13 cf Tit 3,5

DP^{b}BC^{o} 1 τότε τὸ: τό τε P^{b}B φίλιον: φιλεῖν P^{b} φιλικῶς B τοτ[.....]λίχιον ὅταν C^{o} (fortasse: τότε τὸ μειλίχιον) αὐτὰ C^{o} θελήσει P^{b}B 2 post καὶ τῶ[ν expl. fol. 312 col. sin. C^{o} 3 καὶ post λόγων om P^{b} ηὗρε (η ex corr ut vid) B ἀβραὰμ, in marg α D 4 ante ἐκ (post θυσίαν) add ὁ P^{b} πολεμίων P^{b}B βλασφήμων P^{b}B 7 post τῇ add ἐπινοίᾳ καὶ B πνευμάτων: μαρτύρων P^{b} 8 post ἐπορεύετο add πορεῖαν P^{b}B 9 τὴν post εὐθὺς: τινὰ P^{b} μετέθετο: μετέβαλε B 11 προσήλυκτος B ἰδίῳ: δείῳ B 12 πάλιν γενεσίας B 13 πάντων P^{b} τῆς τοῦ Χριστοῦ ἐκκλησίας B 14 ἔχων B 15 ἄγωμεν B 19 εἶτα om P^{b}B (dubito an recte) ἔφθησαν D 22 ante ἄγρια add τὰ B 24 πρὸς ῥιφεῖσαν P^{b} προσρηφ///σαν B προσ[ο]ριφθεῖσαν v ἐσθῆτα: ἐλπίδα P^{b} 26 ἐν δίκῃ P^{b}B

ὑπερβάλλον τῆς βασάνου νικήσῃ τὴν ἀνδρείαν τῶν εὐσεβῶν· τούτου δὲ παρελθόντος τοῦ δέους χρῆσαι τῷ ἀπομείναντι πηλῷ, καθὼς βούλει· κἂν ἀπογεύσῃ τῶν σαρκῶν, οὐ φροντίζω. ὅσῳ γὰρ λυσσῶσαν δεικνύεις τὴν ὠμότητα, τοσούτῳ πλέον στεφανοῖς τῶν ἀπελθόντων τὴν νίκην. αἱ γὰρ γενναῖαι προσβολαὶ τῶν ἀντιτεταγμένων ἀποδείξεις ἀκριβεῖς τῆς ἀνδρείας τῶν κρατησάντων γίνονται.

Ἀλλὰ τί μακρὰ διατρίβομεν; ἐφλέχθη τὰ σώματα, καὶ τὸ πῦρ αὐτὰ διεδέξατο. τὴν δὲ κόνιν ἐκείνην καὶ τῆς καμίνου τὰ λείψανα ἐμερισάμεθα, καὶ πᾶσα γῆ σχεδὸν τοῖς ἁγιάσμασι τούτοις εὐλογεῖται. ἔχω κἀγὼ μερίδα τοῦ δώρου καὶ τῶν ἐμῶν πατέρων τὰ σώματα τοῖς τῶν στρατιωτῶν παρεθέμην λειψάνοις, ἵνα ἐν τῷ καιρῷ τῆς ἀναστάσεως μετὰ τῶν εὐπαρρησιαστῶν βοηθῶν ἐγερθῶσιν. οἶδα γάρ, ὡς ἰσχύουσι, καὶ τῆς παρρησίας αὐτῶν τῆς πρὸς θεὸν ἐναργεῖς ἐθεασάμην τὰς ἀποδείξεις· καὶ δὴ βούλομαι ἕν τι τῶν εἰς θαῦμα τελούντων τῆς ἐκείνων ἐνεργείας εἰπεῖν· κώμης τῆς ἐμοὶ προσηκούσης, ἐν ᾗ τὰ τῶν τρισμακαρίων τούτων ἀναπέπαυται λείψανα, ἔστι τις πολίχνη ἡ γείτων, Ἴβωρα καλοῦσιν αὐτήν. ἐν δὴ ταύτῃ κατὰ τὸν συνήθη Ῥωμαίοις νόμον καταλόγου στρατιωτῶν διάγοντος εἷς τις τῶν ὁπλιτῶν ἐπὶ τὴν κώμην τὴν προλεχθεῖσαν ἀφίκετο πρὸς φυλακὴν τοῦ χωρίου παρὰ τοῦ ταξιάρχου δοθείς, ἵνα τῶν συστρατιωτῶν ἑαυτοῦ τὰς ὁρμὰς καὶ τὰς ὕβρεις ἀνείργῃ, ἃς εἰώθασιν ἐπάγειν τοῖς ἀγροίκοις ὑπὸ θράσους οἱ ὁπλιτεύοντες. ἐνόσει δὲ οὗτος τὸν ἕτερον τοῖν ποδοῖν καὶ ἐχώλευε· καὶ τὸ πάθος αὐτῷ χρόνιον καὶ δυσίατον ἦν. ἐπεὶ δὲ ἐντὸς ἐγένετο τοῦ μαρτυρίου καὶ τῆς ἀναπαύσεως τῶν ἁγίων, καὶ θεῷ προσευξάμενος τὴν τῶν ἁγίων πρεσβείαν ἐπεκαλέσατο· νύκτωρ αὐτῷ φαίνεταί τις ἀνὴρ ἀξιοπρεπὴς καί τινα ἄλλα διαλεχθείς· Χωλεύεις, ἔφη, ὦ στρατιῶτα, καὶ δεῖ σοι

13 cf I Joh 3,21

DP^{b}BC^o 1 ὑπερβάλον P^b 1-2 τοῦ δέους coll post τούτου δὲ P^b 2 ἐπανέλθοντος P^b post καθὼ]ς βούλει inc fol. 312v col. dextra, cuius linearum primae 4-5 litterae abscisae sunt C^o 3 ὅσῳ: ὅσον P^b om B γὰρ om P^{b}B post γὰρ add ἂν αὐτὸς C^o δεικνείυ B 4 τοσοῦτο B 5 ἀπόδειξις ἀκριβὴς B ἀπόδεισξις (sic) C^o 5-6 ἀκρι[....]ῆς ἀνδρίας C^o 6 γίνεται B 7 διατρίβωμεν P^b 8 ante ἐμερισάμεθα add ὁ κόσμος codd, ut vid glossam ad 9 πᾶσα γῆ ἐμερίσθη v 9 καὶ πᾶσα γῆ: [....]ρ C^o ante γῆ add ἡ P^{b}B εὐλόγηνται C^o 10 μερίδα: μικρὸν τούτου C^o ἐμῶν om C^o 11 ante στρατιωτῶν add μακαρίων P^{b}B ἵν' C^o 12 ἐγερθῶσιν: εὑρεθῶσιν C^o 14 βούλωμαι P^b post τῆς expl fol. 312v col dextra C^o 14-15 τῇ ... ἐναργείᾳ B 15 μακαρίων P^b 16 πολύχνην P^b ἡ om P^b Ἴβωρα: ἦν βορᾶ P^b ἦν βορρᾶ B 18 εἷς τις: εἴστι B 21 ἐπάγειν om B 22 καὶ ante ἐχώλευε om B 24 ἁγίων (post τὴν τῶν): μαρτύρων P^{b}B 26 σοι: σε B

θεραπείας; ἀλλὰ δός μοι ψηλαφῆσαι τὸν πόδα. λαβόμενος δὲ ὅναρ αὐτοῦ σφοδρῶς ἐφειλκύσατο. τῆς δὲ νυκτερινῆς ὄψεως τοῦτο ποιούσης ὕπαρ τηλικοῦτος ἐγένετο φόφος, οἷος ἂν γένοιτο ὀστέου τῆς φυσικῆς ἁρμονίας ἐξολισθήσαντος, εἶτα βιαίως ἐναρμοσθέντος· ὥστε ἀφυπνίσαι καὶ τοὺς συγκαθεύδοντας καὶ αὐτὸν τὸν στρατιώτην, διεγερθῆναι δὲ τὸν ἄνθρωπον εὐθὺς καὶ βαδίζειν ὑγιῶς κατὰ φύσιν, ὡς εἴωθε. ταύτην τὴν θαυματουργίαν εἶδον ἐγὼ αὐτῷ τῷ ἀνθρώπῳ περιτυχὼν ἐξαγγέλλοντι πρὸς πάντας καὶ κηρύττοντι τὴν τῶν μαρτύρων εὐεργεσίαν καὶ τὴν τῶν συστρατιωτῶν φιλανθρωπίαν ὑμνοῦντι.

Εἰ δέ τι χρὴ προσθεῖναι καὶ τῶν κατ' ἐξαίρετόν μοι προσηκόντων, ἐρῶ. ἡνίκα γὰρ τὴν ἐπὶ τοῖς λειψάνοις πανήγυριν τὴν πρώτην τελεῖν ἐμέλλομεν κἀν τῷ ἁγίῳ σηκῷ ἀναπαύειν τὴν λάρνακα, ἡ μήτηρ ἡ ἐμὴ (αὕτη γὰρ ἦν ἡ τῷ θεῷ συνάγουσα καὶ κοσμοῦσα τὴν ἑορτὴν) ἥκειν με πρὸς τὴν μετουσίαν τῶν δρωμένων ἐκέλευσε πόρρω τε διάγοντα καὶ ἔτι νέον ὄντα κἀν τοῖς λαϊκοῖς ἀριθμούμενον. οἷα δὲ φιλεῖ γίνεσθαι ἐπὶ πράγμασι κατεπείγουσιν, ἄσχολος ὢν βαρύτερον ὁ ἀνόητος ἐδεξάμην τὴν κλῆσιν ὑπομεμφάμενος τῇ μητρί, διότι μὴ εἰς ἄλλον καιρὸν ὑπερέθετο τὴν πανήγυριν, ἀλλά με πολλῶν ἀποκινήσασα φροντίδων μεθείλκυσε ταύτῃ καὶ πρὸ μιᾶς τῆς συνόδου. ἀφικόμην εἰς τὸ χωρίον· παννυχίδος δὲ οὔσης ἐν κήπῳ, ἔνθα καὶ τὰ λείψανα τῶν ἁγίων ἐτύγχανε ψαλμῳδίαις τιμώμενα, ἐμοὶ πλησίον ἐπί τινος δωματίου καθεύδοντι φαίνεται ὄναρ ὄψις τοιαύτη· ἐδόκουν βούλεσθαι εἰσιέναι εἰς τὸν κῆπον, ἔνθα ὕπαρ ἡ παννυχὶς ἐτελεῖτο. γενομένῳ δέ μοι περὶ τὴν θύραν πλῆθος ὤφθη στρατιωτῶν προσκαθημένων τῇ εἰσόδῳ· ἀθρόον δὲ οἱ πάντες διαναστάντες, ῥάβδους ἐπανατεινόμενοι καὶ ἀπειλητικῶς ἐφορμῶντες οὐ συνεχώρουν τὴν εἴσοδον· ἔλαβον δ' ἂν καὶ πληγάς, εἰ μή με εἶς, ὡς ἐδόκουν, φιλανθρωπότερος ἐξῃτήσατο. ὡς δέ με ὁ ὕπνος ἀφῆκε, καὶ ἦλθον εἰς ἀναλογισμὸν τῆς ἐπὶ τῇ κλήσει πλημμελείας,

785 M.

DP^{b}B 1 post πόδα add σου: ἄρχεται θαῦμα ᾱ B ὄναρ: ὁ ἀνὴρ B 2 ἐφειλκύσατο: ἀπηκλύσατο B 3 φόφος: φόβος P^b ὀστέου: ὥστε οἱ P^b 4 ἀφυπνῶσαι B 6 εἰώθη P^{b}B εἴωθεν v 7 τῷ om B 8 ἅπαντας B κηρύττοντα B τῶν ante μαρτύρων om v 9 στρατιωτῶν v ὑμνοῦντα B ἀνυμνοῦντι v 10 καὶ om B post χρὴ add κἀμὲ P^{b}B in marg θαῦμα β̄ B 12 ἐμέλλωμεν P^{b}B λάναρκα P^b 13 ἡ om P^b συνεγείρουσα B ante ἥκειν add δὲ D ἡ * δὲ v 14 δρομαίων P^{b}B τε: δὲ B 15 κἀν: καὶ B γενέσθαι B 16 κατοπίγουσιν P^b ἄσχωλον· ὢν B 17 ὑποπεμφάμενος B ὅτι v 18-19 μέθη εἴλκυσε ταῦτα B 19 τὸ om B 20-21 ἐτύγχανε τῶν ἁγίων B 21-22 ἐμοῦ ... καθεύδοντος B 22-23 ἐν τῷ κήπῳ Dv 23 ὕπαρ om B 24 προσκαθήμενον Dv προκαθημένων B 26 ἐφορῶντες P^b ἐκφοβοῦντες B post ἐφορῶντες add καὶ δήματα ἐνιέντες P^{b}B 27 ὡς ante ἐδόκουν om P^b φιλανθρωπότερος: φιλανῶς B ὁ om P^{b}B 28 ante εἰς add μὲν Dv

ἠσθόμην εἰς τί ἔφερεν ἡ τῶν στρατιωτῶν ἐπίφοβος ὀπτασία· καὶ πολλοῖς θρήνοις ὠδυρόμην τὴν ἐμαυτοῦ ματαιότητα· καὶ αὐτῇ γε τῇ θήκῃ τῶν λειφάνων πικρὸν ἐπέρρευσα δάκρυον, ἵνα μοι ὁ θεός τε εὐμενῶς ἔχῃ, καὶ οἱ ἅγιοι στρατιῶται τὴν ἀμνηστίαν χαρίσωνται.

Ταῦτα εἶπον, ἵνα πεισθῶμεν, ὅτι ζῶσιν οἱ μάρτυρες, καὶ εἰσὶ θεοῦ δορυφόροι καὶ πάρεδροι οἱ σήμερον ἡμῶν τὴν ἐκκλησίαν ὠφελήσαντες καὶ κοσμήσαντες· λαμπροτέρα δὲ καὶ μείζων αὕτη ἡ τεσσαρακοστὴ τῶν τεσσαράκοντα μαρτύρων τὴν μνήμην ἔχουσα, καὶ ὁ μὴν ἐπιφανέστερος τῶν μηνῶν, καὶ ὁ μοχθηρὸς χειμὼν οὐκέτι μοι δοκεῖ χαλεπός· οὐδὲ σχετλιάζω κατὰ τῆς τοῦ ἐνεστῶτος καιροῦ ἀγριότητος. οὗτος γὰρ ὅπλον τοῦ διώκτου γενόμενος ταύτην μοι τὴν ἱερὰν ἐτελείωσε φάλαγγα. καὶ ὥσπερ τῶν ἑπτὰ Μακκαβαίων ἡ μήτηρ διὰ τὸ ψυχὴν ἔχειν φιλόθεον μᾶλλον ἢ φιλόσαρκον οὔτε τὴν Ἀντιόχου τοῦ τυράννου Συρίας ὠμότητα κατεμέμψατο οὔτε πρὸς τὰς κολάσεις καὶ τὰς συμφορὰς τῶν υἱῶν ἐδυσχέρανεν (ἐδέξατο δὲ καὶ τὴν ἐρημίαν ὡς εὐεργεσίαν καὶ τὴν ἀπαιδίαν ὡς βοήθειαν), οὔτε μὴν ὁ Στέφανος λιθαζόμενος ἐνόμιζε βλάπτεσθαι, ἀλλὰ μᾶλλον ζῳοποιεῖσθαι· οὕτως καὶ ἡμεῖς τοῖς θεομάχοις ὀφείλομεν χάριν ἐκ τῆς ἀγαθῆς ἀποβάσεως, ἀνθ' ὧν ἡμῖν τοσούτων ἀγαθῶν κατέστησαν αἴτιοι, εἰ καὶ μὴ σκοπῷ εὐεργετούντων, ἀλλὰ πολεμούντων ἐνήργουν. εὐεργετοῦσι γὰρ καὶ ἐχθροὶ μὴ θέλοντες τῶν γνησίων φίλων οὐκ ἀτιμότερα. ὠφέλησεν ὁ διάβολος τὸν Ἰὼβ μᾶλλον ἢ ἔβλαφεν· εὐεργέτης ὁ βασιλεὺς τῶν Ἀσσυρίων τοῦ Δανιὴλ ἐγένετο· καὶ οἱ τρεῖς παῖδες τῇ καμίνῳ χάριν ὁμολογείτωσαν· καὶ πρισθεὶς ὁ Ἡσαΐας τοὺς Ἑβραίους ὑμνείτω· καὶ Ζαχαρίας μεταξὺ τοῦ

12 cf Mac II 1sqq 16-17 Act 7,1sqq 21-22 Iob 1sqq 22-23 Dan 3,1sqq 24 "πρισθεὶς ὁ Ἡσαΐας" cf Hebr 11,37; Mart Is 5,11-14 24-169,1 Matth 23,35-37; cf Diem nat PG 46 1132,31sqq; 1137,2-21

DP^{b}B 1 καὶ om Dv post πολλοῖς add δὲ Dv 2 ὀδυράμην P^b γε: δὲ B 3 λειφάνων: μαρτύρων B πικρὸν ἐπέρρευσα: μικρὸν ἐπέρασα B ὁ om B εὐμενῶς τε B 4 ἔχοι P^{b}B ἀναμνηστείαν P^b χαρίσονται P^b 5 εἰπῶν P^b πιστῶσιν P^b θεοῦ εἰσι P^{b}B 6 ἡμῖν P^b 7 μείζον P^b 7-8 τῶν μ̄ DP^{b}v 8 ante μαρτύρων add ἡμερῶν P^b ἔχουσα τὴν μνήμην B 9 χαλεπῶς P^b 10 σχετλιάζων P^{b}B τῆς om B τοῦ om v οὗτος: οὕτως P^b ὄντως B 11 τοῦ om B 12 μακαβαίων P^b 13 τὴν: τοῦ B τοῦ τυράννου om B 14 ὁμώτητος B post κατεμέμψατο add ὡς τυράννου B τὰς post καὶ om B 15 ἐδυσχέρενεν P^b καὶ om v 16-17 ἐνομί///ετο βλάπτεσθαι λιθαζόμενος B 17-18 ὀφείλομεν τοῖς θεομάχοις χάριν ἔχειν ἐκ B 18 ὀφείλωμεν P^b 22 τῷ Δανιὴλ B 24 ὁ om B

ναοῦ καὶ τοῦ θυσιαστηρίου σφαγεὶς τιμάτω τοὺς αὐτόχειρας· καὶ Ἰωάννης τὴν κεφαλὴν ἀποτμηθεὶς εὐεργέτην κηρυττέτω Ἡρώδην· καὶ οἱ ἀπόστολοι τοὺς δήσαντας καὶ μαστίξαντας· καὶ πάντες μάρτυρες ἀγαπάτωσαν τοὺς διώκοντας· εἰ μὴ γὰρ ἐκεῖνοι τὸ στάδιον ἤνοιξαν, οὐκ 788 M.
ἂν οἱ ἀθληταὶ τὴν ἀνδρείαν ἐδημοσίευσαν. τί δ' ἄν τις πλέον ἀγασθείη 5
τῶν προκειμένων ἡμῖν εἰς εὐφημίαν ἀνδρῶν; τὸ πλῆθος ἢ τὴν ἀνδρείαν
ἢ τὴν ἀψευδῆ συμφωνίαν; καὶ μὴ παρέλθωμεν ἀναισθήτως μηδὲ
ἀχαρίστως πρῶτον τὸν ἀριθμόν. ὁ γὰρ τοσούτους ἔχων πρεσβευτὰς
οὔποτ' ἂν ἄπρακτος ἀπέλθοι προσευχῆς καὶ δεήσεως, κἂν σφόδρα
βεβαρημένος ὑπάρχῃ τοῖς ἁμαρτήμασι. καὶ ταύτης τῆς διανοίας καὶ 10
ἐλπίδος μάρτυς ἐστὶν ὁ θεὸς ἐν τῇ πρὸς Ἀβραὰμ διαλέξει, ἡνίκα τὴν
ὑπὲρ Σοδομιτῶν ἱκετείαν ἐδέχετο οὐ τεσσαράκοντα δικαίους, ἀλλὰ
δέκα ζητήσας εἰς παραίτησιν πόλεως μελλούσης ἐξαφανίζεσθαι. Ἡμεῖς
δέ, κατὰ τὸν ἀπόστολον, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος
μαρτύρων μακαρίσωμεν ἑαυτοὺς τῇ ἐλπίδι χαίροντες, τῇ προσευχῇ 15
προσκαρτεροῦντες, ταῖς μνήμαις τῶν ἁγίων κοινωνοῦντες. τεσσαράκοντα γὰρ μάρτυρες, ἰσχυροὶ μὲν κατὰ τῶν ἐχθρῶν ὑπασπισταί, ἀξιόπιστοι δὲ τῆς πρὸς τὸν δεσπότην ἱκεσίας παράκλητοι· μετὰ τῆς τούτων ἐλπίδος καταθαρρείτω Χριστιανὸς καὶ τοῦ διαβόλου πειρασμοὺς ῥάπτοντος καὶ ἀνθρώπων πονηρῶν ἐπανισταμένων καὶ τυράννων τῷ 20
θυμῷ ζεόντων καὶ θαλάσσης ἀγριαινούσης καὶ γῆς μὴ φερούσης, ἃ γενναῖν ἀνθρώποις τέτακται, καὶ οὐρανοῦ συμφορὰς ἀπειλοῦντος. πρὸς πᾶσαν γὰρ χρείαν καὶ περίστασιν ἡ τούτων δύναμις ἐξαρκεῖ πλουσίαν παρὰ Χριστοῦ λαβοῦσα τὴν χάριν· ᾧ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. 25

1-2 Matth 14,1sqq 11 cf Gen 18,32 13-14 Hebr 12,1 15-16 cf Rom 12,12 21-22 cf Gen 1,29-30

712 M. πρὸς ἕνα σκοπὸν οἱ πάντες ἔβαλλον, πᾶν τὸ ὑπὸ χεῖρα γενόμενον ὅπλον κατὰ τοῦ Στεφάνου ποιούμενοι. ὁ δὲ καθάπερ τις ἱερεὺς κατὰ τὸν πνευματικὸν νόμον εὐαγῆ θυσίαν ἱερουργῶν οὐκ ἀλλότριον, ἀλλὰ τὸ ἴδιον προσάγων σῶμα, καὶ ἀντὶ σπονδῆς ἀπορραίνων τοῦ αἵματος, δι' ἑαυτοῦ τὸν θεόν, ὃν ἐν τοῖς οὐρανίοις ἀδύτοις ἔβλεπεν, ὑπὲρ τῶν πλημμελούντων ἐξιλεοῦτο, εὐεργεσίᾳ τὴν μιαιφονίαν αὐτῶν ἀμειβόμενος, βοῶν ἐν ταῖς τῶν φονευτῶν ἀκοαῖς· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. καὶ ὁ μὲν ἐξήλειφεν αὐτῶν δι' εὐχῆς τὴν ἁμαρτίαν, ἣν ταῖς παρανόμοις αὐτῶν χερσὶν οἱ μιαιφόνοι ἐχειρογράφουν, οἱ δὲ καὶ πρὸς τὴν εὐχὴν παρωξύνοντο καὶ οὐ πρότερον ἀνίεσαν βάλλοντες, ἕως ὁ
24 L. μέγας Στέφανος καθάπερ ἄνθεσιν ἁπαλοῖς ἢ δρόσῳ τινὶ κούφῃ περιρρεόμενος εἰς τὸν γλυκύν τε καὶ μακάριστον ὕπνον ἐκλίθη.

Ἀλλ' ἔφθασεν ἡ νίκη τοὺς ἄθλους, καὶ πρὸ τῶν ἀγώνων ὁρῶμεν τὸν στεφανίτην. πρὶν γὰρ θεωρῆσαι τὴν ἀγωνίαν, πρὸς τὸ πέρας τῶν ἄθλων

15-16 Act 7,60

ΜΟΦΗΡ^{a}ΓΨF^{a}ΕΛΥΠSCV 1 εἰ δὲ ἐστὶν τούτων οὐδὲν V^{2} οὗ: οὖν H 1-2 ἐξήνεγκαν ἐκείνην V^{1} (corr V^{2}) προσήνεγκαν F^{a} ἐξήνεγκεν v 2 φθόνος Π 3 εἴδωμεν V^{1} (corr V^{2}) εἴπωμεν M^{1} (ex errore rubricatoris) ἴωμεν (litt ornata Δ in marg om) M^{2} 4 ἀντιπέμπει: ἀντηφίει (ηφιει in ras) Ψ ἀντιφήει Y 5 βολὰς pr: βοὰς M^{2}ΨF^{a}ΕΥΠS φωνὰς Λ βολίδας coni F. Müller ἀφιόντων F^{a} βολάς alt: βολίδας M^{1} (corr M^{2}) ΟΦΗΡ^{a} ΓVv ante Ἰουδαίων add οἱ V^{1} (del V^{2}) 6 post παῖδες inc C χρησάμενος om P^{a} 7 βίῳ V^{1} λόγῳ V^{2} ἐπεποίητο Γ 8 καὶ ἀπηνεῖ τῇ om F^{a} 9 ἔβαλλον: ἔβλεπον ΜΟΦΗΡ^{a}ΓΕΠSCVv γινόμενον ΛLS om CV 11-12 οὐκ ἀλλότριον — προσάγων om F^{a} 12 ante σῶμα add τὸ F^{a} σῶμα προσάγων V^{2} ante σπονδῆς add τῆς M^{1} (del M^{2}) Ov σποδῆς Ψ ἀποραίνων ΨF^{a}ΥΠCV ἀπορρέων ΛL τὸ αἷμα ΠS 14 ἐξιλεοῦτο: in marg παρεκάλεσε Y εὐεργεσίαν F^{a} 15 φονευόντων ΦΗΨΠV καὶ λέγων ante Κύριε add ΜΟΦΗΡ^{a}ΓSCVv κύριε coll post αὐτοῖς V^{1} (corr V^{2}) στήσεις Φ 16 ἐξάλειφεν (α ut vid in ras) Π δι' εὐχῆς om ΛLY^{1} (sscr Y^{2}) ἁμαρτίαν: ἀνομίαν ΦΗΡ^{a}ΓCV ante ταῖς add ἐν ΓF^{a} 17 ἑαυτῶν ΦΗΡ^{a}ΛΠSCV ἐχειρογγράφουν O καὶ sscr E^{2} 18 ante ὁ add οὗ ΜΟΛLCv 19 περιρεόμενος HV περεόμενος L περιρραινόμενος ES περιραινόμενος ΨF^{a}ΥΠ 20 τε om ΦΗΡ^{a}Γv μακάριον ΜΟΡ^{a}ΓΛΥΠCv ἐκλήθη ΜΟΦΗΡ^{a}ΓΨΠC ἀνεκλίθη F^{a} 22 τῶ ἄθλων F^{a}

ὑπὸ τοῦ λόγου παρήχθημεν. ἔδει γὰρ οἶμαι μὴ παραδραμεῖν ἐκεῖνα τῷ λόγῳ, δι' ὧν μάλιστα ἡ τοῦ μάρτυρος ἀρετὴ διεδείκνυτο. οἷον ἦν τὸ τῶν φονώντων συνέδριον, καὶ πῶς κατὰ τὸ ἴσον πᾶσι πρὸς τὸν φόνον ὁ θυμὸς διεγήγερτο· ὅση πρὸς τὸ κακὸν ἦν τοῖς συνειλεγμένοις ἡ σύμπνοια· οἷον ἑκάστου τὸ βλέμμα, οἷον τὸ σχῆμα, οἷον τὸ περὶ τοὺς ὀδόντας πάθος, καθὼς παρασημαίνεται ἡ θεία γραφή, ὅτι Διεπρίοντο ταῖς καρδίαις αὐτῶν καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν, ὃς καὶ ἐν μέσῳ τοιούτων καὶ τοσούτων ἑστὼς καὶ πάσῃ τῇ ἀντικειμένῃ δυνάμει τῇ ἐν τοῖς μιαιφόνοις ἐνεργουμένῃ ἑαυτὸν ἀντεγείρων διὰ πάντων ὑπερέσχε τῷ μεγαλοφυεῖ τοῦ φρονήματος, ἀντιτιθεὶς τῷ μὲν θυμῷ τὴν μακροθυμίαν, ταῖς δὲ ἀπειλαῖς τὴν ὑπεροφίαν, τῷ δὲ τοῦ θανάτου φόβῳ τὴν τῆς ζωῆς καταφρόνησιν, τῷ μίσει τὴν ἀγάπην, τῇ δυσμενείᾳ τὴν εὐποιΐαν, τῇ συκοφαντίᾳ τὴν τῆς ἀληθείας φανέρωσιν. οὐ γὰρ δι' ἑνὸς τρόπου νικητὴς ὁ τῆς ἀληθείας ἀγωνιστὴς ἀπεδείκνυτο, ἀλλὰ πρὸς πᾶν εἶδος κακίας τῆς τότε τοῖς Ἰουδαίοις ἐνεργουμένης ἑαυτὸν διὰ τῆς ποικίλης ἀρετῆς καταμερίσας, καὶ πᾶσι συνεπλάκη καὶ ὑπερέσχε τῶν πάντων. οὕτως ἀκούω καὶ ἐν τοῖς γυμνικοῖς ἀγῶσι τοὺς πλεονεκτοῦντας κατὰ τὴν δύναμιν πρὸς ὅλον πολλάκις ἀποδυομένους τὸ γυμνικὸν στάδιον κατὰ πάντων φέρεσθαι τῶν ἀντιπάλων τὰ νικητήρια. τοιοῦτος ὁ τοῦ σταδίου τῶν μαρτύρων καθηγησάμενος πρὸς πᾶσαν τοῦ ἀντικειμένου τὴν δύναμιν ἑαυτὸν ἀντιτάξας λαμπρὸς τῇ κατὰ πάντων ἀναδείκνυται νίκῃ· τὴν ψευδώνυμον σοφίαν τὴν διὰ Λιβερτίνων καὶ Κυρηναίων καὶ

26 L.

8-9 Act 7,54 22-86,1 Act 6,9

MOΦHP^{a}ΓΨF^{a}ΕΛLΥΠSCV 2 δι' ὃν F^{a} ἀρετὴ om C^{1} in marg add C^{2} 3 φονευτῶν Γ καὶ πῶς: πῶς F^{a}E ὡς ΨYV^{2} (·˙καὶ πῶς˙·· in textu V^{1} ·˙ὡς˙·· in marg V^{2}) 4 διεγείγερτο V διεγείρετο ΛL διηγείρετο C διεγήγερται Φ διεγείγερται HP^{a} διεγείρεται F^{a} ὅση: ὅσον ΨY πρὸς τὸ om Ψ ἦν om S συνελεγμένοις F^{a} 5 οἷον τὸ σχῆμα om F^{a}ΕΠ^{1} (in marg add Π^{2}) περὶ: ι sscr F^{a} 6 διεπρίωτο C 6-7 τὰς καρδίας V^{1} (corr V^{2}) 7 post ἔβρυχον del τὸ L^{2} ὃς καὶ coni F. Mann: καὶ ὃς coni F. Müller ἀλλ' E ὃς MOΦHP^{a}ΠSV (·˙ὃς˙·· in textu ·˙καὶ˙·· in marg) καὶ ΓΨF^{a}Λ LYCv ἐμμέσῳ ΦΨV 8 τῇ ἐν: τὴν Π τῇ S 9 τοῖς: ταῖς P^{a} 10 ἀντιθεὶς ΓΨF^{a}YV^{1} (sscr τι V^{2}) 11 ὑπεροφίαν ut vid in ras C 12 ante ζωῆς add παρούσης Ψ ante μίσει add δὲ Ov τῇ δυσμενείᾳ τὴν εὐποιΐαν om Ψ εὐποιΐαν: εὐμένειαν MOΦHP^{a}ΓΠSVv 13 τόπου Φ 14 νικητὴς coll post ἀπεδείκνυτο Ψ ὁ τῆς ἀληθείας ἀγωνιστὴς om M^{1} (in marg add M^{2}) διεδείκνυτο P^{a} ἐδείκνυτο Π ἀνεδείκνυτο S 15 τῆς (ante τότε) om ΨF^{a}EY 16 καθυπερέσχε M^{1} (corr M^{2}) OΦHP^{a}Γv ὑπερηύχετο F^{a} τῶν om Π (lac in loco) C 18 τὴν om ΓV^{1} (sscr V^{2}) 19 τῶν ἀντιπάλων om Ψ 19-20 τὸ στάδιον P^{a}Γ 20 τῶν μαρτύρων om F^{a} ante πρὸς add ὃς MOΦHP^{a}ΓΠSCV^{1} (corr V^{2}) v 21 λαμπρῶς M^{1} (corr M^{2}) ΦHV^{1} (corr V^{2}) 22 post τὴν (ante ψευδώνυμον) add γὰρ MOΦHP^{a}ΓΠSCVv

τῶν ἀπὸ τῆς Ἀλεξάνδρου πόλεως σοφῶν αὐτῷ προσπαλαίουσαν διὰ τῆς ἀληθοῦς σοφίας κατηγωνίσατο, τὸν φόβον διὰ τῆς παρρησίας, τὴν ἀπειλὴν διὰ τῆς ὑπεροψίας, τὴν πικρίαν διὰ τῆς εὐποιΐας, τὸ ψεῦδος διὰ τῆς ἀληθείας. οἱ μὲν πρὸς τὸν φόνον ἔβλεπον καὶ ἤδη τὰς χεῖρας τοῖς λίθοις ἐξώπλιζον καὶ τῷ βλέμματι καὶ τῷ ἄσθματι καὶ τῇ τῶν ὀδόντων
713 M. συμπτώσει τὴν πικρίαν ἐπισημαίνοντες, ὁ δὲ ὡς ἀδελφοὺς ἑώρα καὶ ὡς πατέρας ἠσπάζετο. Ἄνδρες γάρ, φησίν, ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε.

Οἱ μὲν τὴν συκοφαντίαν πιθανῶς συνέπλασσον, τῷ δὲ τὸ τῶν φονώντων συνέδριον τῆς ἀληθείας φροντιστήριον ἦν, οὐκ ἐπέκοπτε φόβῳ τὸν λόγον οὐδὲ πάρετος πρὸς τὴν ἐλπίδα τῶν κινδύνων ἐγίνετο οὐδὲ πρὸς τὸν θάνατον ἔβλεπεν, ἀλλ' ἐπὶ τοῦ ὕψους τὴν ψυχὴν ἔχων καὶ τὰ ἐν ποσὶ πάντα περιορῶν ὡς παιδία μάτην ἀφραίνοντα ἐπαιδαγώγει τῷ
28 L. λόγῳ, τοῖς παρ' αὐτῶν ἐκείνων πιστευομένοις εἰς ἀπόδειξιν τοῦ πεπλανῆσθαι αὐτοὺς περὶ τῶν δογμάτων συγχρώμενος. Ἀβραὰμ τῷ λόγῳ παράγεται καὶ ἡ κατ' αὐτὸν ἱστορία πᾶσα δι' ὀλίγων ὑπ' ὄψιν ἄγεται, εἶτα ἡ τῶν ἐφεξῆς ἁγίων διαδοχή. Μωϋσῆς ἐπὶ τούτοις τικτόμενος, ἀνατρεφόμενος, παιδευόμενος, ἐπὶ τοῦ ὄρους μυσταγωγούμενος, μαστίζων τὴν Αἴγυπτον, τὸ Ἰσραηλιτικὸν διασῴζων, τὸ κατὰ τὸν κύριον προμηνύων μυστήριον. ὃ καὶ μάλιστα συγκινεῖ τὸ συνέδριον καὶ

7-8 Act 7,2 15-17 cf Act 7,2-7 17sq cf Act 7,20.21.22.30.34.36.37

ΜΟΦΗΡ^{a}ΓΨF^{a}ΕΛΥΠΣCV 1 τῆς om Ψ' πόλεων O^{1} (corr O^{2}) αὐτῶν L^{1} (ν del L^{2}) προσπαλαίουσι P^{a} 2 διὰ τῆς παρρησίας: τῇ παρρησίᾳ ΦP^{a}Γ 3 εὐφυίας sscr ποι P^{a} 5 καὶ τῷ ἄσθματι καὶ τῷ βλέμματι S καὶ τῷ ἄσθματι om F^{a1} (in marg add F^{a2}) τῷ ἄσθματι καὶ om Φ καὶ (post ἄσθματι) om L^{1} (sscr L^{2}) Π καὶ τῇ om Λ ὀδόντων om H 6 ὡς (post καὶ) om Γ 7 ἀδελφοὶ om F^{a} 8 post ἀκούσατε add μου P^{a}Γν 9 πειθανῶς ΦHF^{a}ΠCV συνέπλασον Π συνέπλαττον SC ἔπλασσον Y συνέπλεκον ΜΟΛLν ante συνέπλασσον add συνέδριον V^{1} (del V^{2}) 10 ἀληθείας: ἀδικίας Π ἀπέκοπτε ν ante φόβῳ add τῷ Π 11 πρὸς pr om Y ἐγένετο YC οὔτε ΛL 12 τὸ ὕψος ΟΦΗP^{a}ΓΕΛΠSCVν 13 πάντα om Y μάτην: μάταια ΛL μάτην ἀφραίνοντα: μωραίνοντα P^{a} 14 παρ' αὐτῶν: παρὰ τῶν ΦΗP^{a} ἐκείνοις C πεπλανεῖσθαι ΦΗYCV πεπλανῖσθαι F^{a} 15 αὐτοῖς F^{a} συγχρώμενος in ras F^{a} 16 ἡ: εἰ V κατὰ F^{a} αὐτῶν ΓΛ ὀλίγον F^{a} 17 ἡ om ΦΗP^{a}ΓΨF^{a}ΕΥΠSCV ἐξῆς sscr ἐφ V ὑφεξῆς F^{a} διαδοχή om F^{a} Μωσῆς ΜΟΓSC^{1} (υ sscr C^{2}) 18 ἀνατρεφόμενος: ἀναστρεφόμενος P^{a} καὶ Π ἀνατρεφόμενος καὶ V παιδευόμενος om F^{a}E ὄρος H μυσταγωγούμενος: in marg add διδασκόμενος Y σταγωγούμενος sscr μυ L 19 τὸν Ἰσραὴλ ΜΟΦΗP^{a}ΕΠSV^{1} (corr V^{2}) ν 20 κύριον: Χριστὸν Ψ' προμηνύων sscr σ (= προσμηνύων) V ὃ ut vid mut ex ὧν L

ἀναθερμαίνει τὴν νόσον, ὅτι καὶ Μωϋσῆς, οὗ δὴ προσεποιοῦντο ὑπερσπουδάζειν, συνήγορος ἐπεδείχθη τοῦ δόγματος. ἐφ' ᾧ καὶ διαναστάντες τὸ πέρας ἐπάγουσιν ἄξιον καὶ τῆς ἰδίας πικρίας καὶ τῆς τοῦ Στεφάνου ἐπιθυμίας. ὁ μὲν γὰρ ἐκβὰς τὴν φύσιν καὶ πρὶν ἐκβῆναι τοῦ σώματος βλέπει τοῖς καθαροῖς ὀφθαλμοῖς οὐρανίας αὐτῷ πύλας διϊσταμένας καὶ τὸ ἐντὸς τῶν ἀδύτων διαφαινόμενον, αὐτήν τε τὴν θείαν δόξαν καὶ τὸ τῆς δόξης ἀπαύγασμα· καὶ τῆς μὲν πατρικῆς δόξης οὐδεὶς ὑπογράφεται χαρακτὴρ διὰ τοῦ λόγου, τὸ δὲ ἀπαύγασμα ἐν τῷ ὀφθέντι τοῖς ἀνθρώποις εἴδει τῷ ἀθλητῇ καθορᾶται, ὡς ἦν χωρητὸν τῇ ἀνθρωπίνῃ φύσει, οὕτω φαινόμενον. ὁ μὲν οὖν ἔξω γεγονὼς τῆς ἀνθρωπίνης φύσεως καὶ πρὸς τὴν ἀγγελικὴν μεταποιηθεὶς χάριν, ὡς καὶ αὐτοῖς εἶναι τοῖς μιαιφόνοις ἐν θαύματι, πρὸς τὴν τῶν ἀγγέλων ἀξίαν τοῦ περὶ τὸ πρόσωπον εἴδους ἀλλοιωθέντος, καὶ εἶδε τὰ ἀθέατα καὶ τὴν ὀφθεῖσαν αὐτῷ χάριν ἐβόησεν. οἱ δὲ συνεῖχον τὰ ὦτα καὶ τὸ διήγημα τῆς ὀπτασίας οὐ παρεδέχοντο, καλῶς τοῦτο γοῦν ἐν πᾶσι ποιήσαντες· οὐδὲ γὰρ ἦν ἀξία βεβήλων ἀκοὴ θείας ἐμφανείας διηγήματα δέξασθαι. ἐκεῖνος μὲν οὖν ἐκοινώνει τοῖς παροῦσι τῆς χάριτος, εἰς τὸ κοινὸν ἐκεῖνα προτιθεὶς τῷ διηγήματι, ὧν κατὰ μόνας ἠξίωτο, Θεωρῶ, λέγων, τοὺς οὐρανοὺς ἀνεῳγότας καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ. οἱ δὲ Κράξαντες φωνῇ μεγάλῃ καὶ συσχόντες τὰ ὦτα αὐτῶν ὥρμησαν ἐπ' L.

6-8 cf Act 7,55-56; Hebr 1,3 12 cf Act 6,15 18-19 Act 7,56 20-88,1 Act 7,57

ΜΟΦΗΡ^{a}ΓΨF^{a}ΕΛLΥΠSCV 1 Μωσῆς MOS 2 ἀπεδείχθη ΛLC ἀνεδείχθη E τοῦ δόγματος ἀπεδείκνυτο ΜΟΦΗΡ^{a}ΓVv ἀναστάντες ΛL 3 τὸ τὸ πέρας H ἄγουσιν Y τῆς (ante τοῦ) om H 4 ἐκβῆναι: ἐκβ...ῆναι (in verbo lac) Π ἐκβληθῆναι ΦΗΡ^{a}Γ 5 τοῖς sscr V^{2} καθαροῖς: καροῖς Ψ ante οὐρανίας add τὰς ΜΟΦΗΡ^{a}Γv οὐρανίους ΜΦΗΡ^{a} αὐτῷ αὐτῷ H^{1} (corr H^{2}) διϊσταμένας: διιπταμένας Π in marg add ἀνεωγμένας Y 6 τὴν om v 7 ante δόξης add θείας ΓSC μὲν om F^{a} ἀπογράφεται Y 8 δ' Y 9 καθορᾶτο Φ 13 ἀλλοιωθέντος: λαμπρυνθέντος ΦΗΡ^{a}ΓΛL^{1} (ἀλλοιωθέντος in marg L^{2}) SCV καὶ (ante εἶδε): αὐτῷ ΦΗΡ^{a}ΓSC αὐτῷ καὶ Π ·ʿαὐτῷ'· καὶ V om E ἴδεν ΦΗΨF^{a} LΥΠC ὀφθεῖσαν: in marg add φανεῖσαν Y 14 ἐξεβόησεν ΜΟΦΗΡ^{a}Γ ΠVv συνέσχον ΜΟΦΗΡ^{a}ΓΨΕΛΠV^{1} (corr V^{2}) v παρέχοντο sscr δε H 15 ποιήσαντος F^{a} ποιοῦντες ΗΡ^{a}ΓV ποιοῦντος Φ οὐδὲ: οὐ Π ἀξία ἦν C 16 διήγημα ΨF^{a}ΠS 17 κοινωνεῖ Y ἐκοινώνησε ΦΗΡ^{a}ΓVv τοῖς παροῦσι om ΛL ἐκεῖνο Ψ ἐκείνω F^{a} ἐκείνων ΦΗΡ^{a}Γ 17-18 τὸ διήγημα Ψ 18 ὧν: οὗ ΦΗΡ^{a} ὃ Π θεωρῶν λέγω F^{a} 19 ἀνεωγμένους P^{a}Λ (ἀνεωγμένους τοὺς οὐρανούς) LYVv ἐκ δεξιῶν ἑστῶτα ΓV^{1} (corr V^{2}) v 20 μεγάλῃ om S συνέχοντες Ψ συ^{s}σχόντες (eras ut vid σ aut ν sscr ε) F^{a} συσσχόντες Y συνσχόντες V^{1} (ν del V^{2}) αὐτῶν om Γv

αὐτὸν ὁμοθυμαδόν. καλῶς προσέθηκεν ἡ περὶ αὐτὸν ἱστορία τὴν κραυγὴν τοῖς ἔργοις, ἵνα δείξῃ τὴν τῆς προαιρέσεως αὐτῶν πρὸς τοὺς Σοδομίτας συγγένειαν. καὶ γὰρ καὶ τὸ ἐκείνων ἀνόμημα κραυγὴ παρὰ τοῦ κρίνοντος ὠνομάσθη. Κραυγὴ γάρ, φησί, Σοδόμων καὶ Γομόρρας ἀνῆλθε πρός με. ἔκραξαν τοίνυν καὶ οὗτοι, ἵνα ἀκουσθῇ αὐτῶν ἡ ἐπὶ Στεφάνῳ κραυγή.

716 M. Οὐ μὴν ἠγνόει ὁ ἀθλητὴς διὰ τῆς πικρίας τῶν μιαιφονούντων εὐεργετούμενος. τῷ γὰρ περὶ αὐτὸν τῶν καταλευόντων κύκλῳ στεφανωθεὶς οὕτως ἐδέξατο τὸ γινόμενον ὡς στέφανον νικητήριον ἐν ταῖς χερσὶ τῶν
32 L. ἐναντίων πλεκόμενον. διὸ καὶ εὐλογίᾳ τοὺς μιαιφόνους ἀμύνεται, οὐκ ἀξιῶν πρὸς τὰς ἐναντίας ἐκβάσεις τὴν ἐπ' αὐτῷ πρᾶξιν καταμερίζεσθαι, ὡς ἐκείνῳ μὲν τὴν ζωήν, τοῖς δὲ ἀντικειμένοις φέρειν τὸν ὄλεθρον, ἀλλ' ὧν αὐτὸς ἠξίωτο καὶ τοὺς πολεμίους ὡς ἀγαθῶν αὐτῷ συναιτίους μὴ ἐκπεσεῖν. οὕτως οἶδεν ὁ Χριστὸν βλέπων τοῖς πολεμοῦσι προσφέρεσθαι. ἐπειδὴ γὰρ εἶδε τὸν νομοθέτην τῆς μακροθυμίας, ὑπεμνήσθη τῶν νόμων τῶν ἀγαπᾶν τοὺς ἐχθροὺς κελευόντων καὶ καλῶς ποιεῖν τοῖς μισοῦσι καὶ ὑπὲρ τῶν πολεμούντων προσεύχεσθαι. ἀλλ' ὁ μὲν ἀθλητὴς οὐκ ἐξ ἀνθρωπίνων ἐπαίνων δοξάζεται. οὐδὲ γὰρ ὁ σκοπὸς αὐτῷ τῆς ἀθλήσεως πρὸς τὴν ἐξ ἀνθρώπων ἔβλεπε δόξαν, ἀλλ' ὑπερβὰς πάντα τὸν κόσμον τῇ μεγαλοφυΐᾳ τοῦ κατορθώματος καὶ τὰ μέτρα τῆς ἀνθρωπίνης δυνάμεως συμπαρέδραμε, πᾶσαν ἐγκωμιαστικὴν δύναμιν κατόπιν ἑαυτοῦ ῥίψας.

Οὐκοῦν ὁ μὲν ἐχέτω κατὰ παντὸς ἀνθρωπίνου λόγου τὰ νικητήρια,

---

4sq Gen 18,20-21 15-17 cf Matth 5,44

ΜΟΦΗΡ^{a}ΓΨF^{a}ΕΛΥΠSCV 1 ὁμοθυμαδὸν ἐπ' αὐτὸν ΜΟΦΗΡ^{a}ΓΨΠVv προστέθηκεν ΓΥ προστέθεικεν P^{a} ἡ coll ante ἱστορία Π αὐτῶν ΜΟΦΕΥ ΠSv 2 τὴν (ante τῆς) coll post αὐτῶν ΜΟΦΗΡ^{a}ΓVv 3 καὶ (post γὰρ) om ΜΟΦΗΡ^{a}ΓΨΠΥSCv 3-4 τοῦ κρίνοντος: πικραίνοντος ΕΥSC 5 ἵν' V^{2} ante αὐτῶν add καὶ ΜΟΦΗΡ^{a}ΠVv ἐπὶ: εἰς Φ 6 Στέφανον Φ Στεφάνου M^{1} (corr M^{2}) ΟΗΡ^{a}ΓΨΛΠVv Στεφά S 7 τῶμιαιφονούντων Η 8 τῷ: τὸ F^{a} τῶν ΦΗΡ^{a}ΓΠ αὐτῶν ΦΗF^{a}Π ἑαυτῶν V^{1} (corr V^{2}) τῶν om ΦΗΡ^{a}F^{a}Π καταλλευόντων ΕC 9 γινόμενον — νικητήριον om F^{a} ἐν om Γ 10 ἀμύνεται: ἀμείβεται ΦΗΡ^{a}ΓΠSV 11 αὐτῶν Γ 12 ἐκείνων Φ 13 ἠξίωται F^{a} ἠξίωτο — ὡς om L^{1} (in marg add L^{2}) 14 Χριστὸν: χρηστως F^{a} ante Χριστὸν sscr πρὸς S^{2} πολεμίους Υ προσφέρεσθαι: ἀμείβεσθαι P^{a} 15 γὰρ: καὶ Λ ἴδεν ΗΨΠCV οἶδεν F^{a} τῆς μακροθυμίας τὸν νομοθέτην ΜΟΦΗΡ^{a}Γv ἐπεμνήσθη F^{a}S 15-16 τῶν νόμων τῶν: τὸν νόμον F^{a} τῶ/// νόμω/// τῶν Π 16 κελεύοντα F^{a} κελευόντων coll post νόμων τῶν (15-16) Ψ 17 προσεύχεσθαι om V^{1} (in marg add V^{2}) ὁ sscr V^{2} 18 αὐτῶν F^{a} 19 τὸν om Υ 21 συνπαρέδραμε ΦP^{a}ΨF^{a}ΠV 22 ἑαυτῷ Π αὐτοῦ sscr é Λ ῥίψας om Υ 23 ὁ om ΦΗ ὁ μὲν om Ψ ἀνθρωπίνου om Ε λόγον Η λογισμοῦ Ψ

ἡμῖν δὲ συναγωνιζέσθω τῇ καθ' ἑαυτὸν ἱστορίᾳ πρὸς τὴν τῶν ψυχῶν σωτηρίαν. καθάπερ γὰρ ἐν τοῖς σωματικοῖς ἀθληταῖς οἱ τῶν ἀγώνων παυσάμενοι παιδοτριβοῦσι τοὺς νέους ταῖς ἀθλητικαῖς γυμνασίαις, διά τινος τεχνικῆς εὐστροφίας ἐκδύνειν τὰς λαβὰς τῶν ἀντιπαλαιόντων διδάσκοντες, οὕτως οἶμαι δεῖν καὶ ἡμᾶς διὰ τοῦ μεγάλου Στεφάνου παιδοτριβηθῆναι πρὸς τὴν εὐσέβειαν, ὡς ἂν δι' αὐτοῦ φύγοιμεν τὰς τῶν πνευματομαχούντων λαβάς. φασὶ γὰρ οἱ λυσσῶντες κατὰ τῆς δόξης τοῦ πνεύματος, συνήγορον εἶναι τῆς ἐκείνων ἀτοπίας τὸν Στέφανον, ὃς ἐνατενίσας τῷ οὐρανῷ Εἶδε δόξαν θεοῦ καὶ τὸν Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ. λέγουσι τοίνυν ἐπὶ ἀνατροπῇ τῶν τῆς εὐσεβείας δογμάτων, ὅτι, εἰ μετὰ πατρὸς καὶ υἱοῦ δεῖ πάντως ἀριθμεῖσθαι τὸ πνεῦμα, πῶς οὐκ εἶδε Στέφανος ἐν τῇ ὀπτασίᾳ μετὰ τοῦ υἱοῦ καὶ τὸ πνεῦμα; πῶς οὖν ὀρέξει χεῖρα τοῖς διὰ τῶν τοιούτων λόγων ὑποσκελιζομένοις ὁ Στέφανος; πῶς ἀνορθώσει τῇ ἀγωνιστικῇ τέχνῃ τοὺς ὑποκλάζοντας; ἢ αὐτόθεν ἐστὶν ἡ βοήθεια ἡ ἀνατρέπουσα τὴν ἀπιστίαν τοῦ προσπαλαίοντος. ζητεῖς, ὦ πνευματομάχε, ὅτε ἡ δόξα τοῦ πατρὸς ὤφθη καὶ ὁ υἱὸς τὴν ἐκ δεξιῶν στάσιν ἔχων, ποῦ τὸ πνεῦμα; εἰ ἦν ἐν σοὶ τὸ πνεῦμα, οὐκ ἂν προκείμενον τὸν περὶ αὐτοῦ λόγον παρέδραμες, ὥσπερ οἱ πηροὶ τὰς ὄψεις τὸ πρὸ τῶν ποδῶν κείμενον χρυσίον ἀγνοοῦντες παρέρχονται. ἀλλὰ νῦν γοῦν ἄκουσον, εἴ γε μὴ συνέχεις κατὰ τοὺς Ἰουδαίους τὴν ἀκοήν. 34 L.

Πῶς εἶδε τὴν ὑπερουράνιον δόξαν ὁ Στέφανος; τίς αὐτῷ τὰς πύλας

9sq Act 7,55

ΜΟΦΗΡ^{a}ΓΨF^{a}ΕΛLΥΠSCV 1 κατ' αὐτὸν ΟΛLv καθ' αὐτὸν (ut vid mut ex καθ' αὐτῶν) Π ἡ ... ἱστορία ΛL 2-3 οἱ τῶν — γυμνασίαις om ΦΗΡ^{a}Γ 4 ἐκδύνειν: ἐκλύνειν ΦΗ in marg ἐκφεύγειν Y παλαιόντων Π 5 οἶμαι: in marg ὑπονοῶ Y 6 πρὸς om v φύγωμεν fort V^{1} (corr V^{2}) v 7 πνευματομάχων ΜΟYv ante λαβὰς add διὰ Y φησὶ Φ τῆς δόξης τοῦ: τοῦ ἁγίου Ψ 8 συνήγορον: ἥγο in ras V^{2} ἀτοπίας: ἀπολογίας ΛL^{1} (ἀτοπίας in marg L^{2}) ἀνατενίσας Φ ἀτενίσας Γ 8-9 ἐνατενίσας — εἶδε: ἀτενίσαντα εἰς ὕψος καὶ ἰδόντα Π (ὃς ut vid in marg add Π^{2}) 9 ἴδεν ΦΗΨF^{a} LYCV εἶδε (ἴδεν) coll post δόξαν ΨESV post θεοῦ ΛLC τὸν om ΜΟΡ^{a}Γv Ἰησοῦν: υἱὸν L 10 θεοῦ: πατρὸς Π ἐπ' ΦΗΡ^{a}ΓYCVv 11 πάντων F^{a} 12 οὐχ Ψ ἴδεν ΨF^{a}LΥΠCV ante Στέφανος add ὁ ΜΟΦΗΡ^{a}ΓΠv 13 γοῦν P^{a} ante χεῖρα add τὴν M^{1} (del M^{2}) ΟΦΗΡ^{a} ΓΑLΠv ὑποσκελλιζομένοις ΦΗΥC 14 ἀνορθώσῃ H (η mut ex ει?) ΨC^{1} (corr C^{2}) V ὑποκλάζοντας: ὑποσκάζοντας Ψ ὑποσκλάζοντας F^{a} ad ὑποκλάζοντας in marg add χολεύοντας Y ἢ: ἡ ΜΕΛS om ΦΗΡ^{a}Γ 15 ἡ pr om F^{a} προπαλαίοντος F^{a}Π 16 ὅτε: ὅτι F^{a}ΛLΠ ὅτι εἰ M^{1} (corr M^{2}) OSv ὁ om F^{a} 18 πηροὶ: in marg add τυφλοὶ Y 19 πρὸ τῶν: πρώτων L^{1} (corr L^{2}) κείμενον om S^{1} (sscr S^{2}) χρυσίον κείμενον ΠV^{2} 20 γοῦν νῦν Λ ἄκουσον γοῦν Π εἰ: ἡ V^{1} (corr V^{2}) συνέχῃς ΜΡ^{a}V συνέχοις E post συνέχεις add τὰ ὦτα F^{a} 20-21 τὴν ἀκοὴν om F^{a} 22 πῶς: ὡς Φ ἴδεν ΦΗΨF^{a}ΥΠCV 22-90,1 τῶν οὐρανῶν τὰς πύλας Ψ

τῶν οὐρανῶν διεπέτασεν; ἆρα ἀνθρωπίνης δυνάμεως ἦν τὸ κατόρθωμα; ἆρά τινος τῶν ἀγγέλων πρὸς τὸ ὕψος ἐκεῖνο τὴν κάτω κειμένην φύσιν
36 L. ἀναβιβάσαντος; οὐκ ἔστι ταῦτα· οὐ γὰρ οὕτως ἡ κατ' αὐτὸν ἱστορία
717 M. φησίν, ὅτι Στέφανος πολὺς κατὰ τὴν δύναμιν ὢν ἢ τῆς ἀγγελικῆς
5 βοηθείας πλήρης γενόμενος εἶδεν ἃ εἶδεν. ἀλλὰ τί λέγει; Στέφανος δὲ Πλήρης ὢν πνεύματος ἁγίου εἶδε τὴν δόξαν τοῦ θεοῦ καὶ τὸν μονογενῆ τοῦ θεοῦ [υἱόν]. οὐ γὰρ ἔστι, καθὼς φησιν ὁ προφήτης, τὸ φῶς ὀφθῆναι μὴ ἐν φωτὶ καθορώμενον. Ἐν γὰρ τῷ φωτί σου, φησίν, ὀψόμεθα φῶς. (οὐκ ἐνδέχεται μὴ ἐν φωτὶ γενέσθαι τὴν τοῦ φωτὸς θεωρίαν· πῶς γὰρ
10 ἔστιν ἀπιδεῖν εἰς τὸν ἥλιον ἔξω τῶν ἀκτίνων γενόμενον;) ἐπεὶ οὖν ἐν τῷ φωτὶ τοῦ πατρός, τουτέστι τῷ πνεύματι τῷ ἁγίῳ τῷ ἐκεῖθεν ἐκπορευομένῳ, τὸ μονογενὲς καθορᾶται φῶς, διὰ τοῦτο προκαταυγασθεὶς τῇ δόξῃ τοῦ πνεύματος ἐν περινοίᾳ τῆς τοῦ πατρὸς καὶ υἱοῦ δόξης ἐγένετο. ἐπεί, πῶς τὴν εὐαγγελικὴν ἀπόφασιν ἀληθεύειν φήσομεν, ὅτι
15 Θεὸν οὐδεὶς ἑώρακε πώποτε; πῶς δὲ τὸν ἀπόστολον μὴ ἐναντία τοῖς ἱστορηθεῖσι βοᾶν, ὅταν λέγῃ· Οὔτε τις εἶδεν ἀνθρώπων οὔτε ἰδεῖν δύναται; εἰ γὰρ ἀνθρωπίνῃ φύσει τε καὶ δυνάμει ἡ τοῦ πατρός τε καὶ τοῦ υἱοῦ δόξα χωρητὴ κατέστη, ψευδὴς πάντως ὁ ἀχώρητον ἀνθρώποις ἀποφηνάμενος εἶναι τὸ θέαμα. ἀλλὰ μὴν οὔτε ἐκεῖνον ψεύδεσθαι καὶ

---

6 cf Act 7,55 7-8 Ps 35,10 15 Joh 1,18 16-17 I Tim 6,16

ΜΟΦΗΡ^{a}ΓΨF^{a}ΕΛLΥΠSCV 1 διεπέτασεν: διέστησεν P^{a}Γ in marg add διήνοιξε Y ἆρ' Yv ἆρα HP^{a}F^{a}V αρα Ψ post ἆρα add τῆς ΦΗP^{a} ἦν: ἐστὶν ΦΗP^{a} 2 ἆρα F^{a}YV κειμένην om S^{1} (in marg add S^{2}) 3 post ταῦτα add οὐκ ἔστι in textu Π in marg V^{2} 4 φησίν: ἔχει Ψ post Στέφανος add δὲ ΜΟΓΛLΠV^{2}v 4-5 ἢ — γενόμενος om ΦΗP^{a} 5 ἴδεν ἃ ἴδεν ΗΨF^{a}LΥΠCV δὲ om F^{a} 6 ὢν om ΦΗ ὢν coll post πνεύματος ΜΟ ante πλήρης E ἴδεν ΦΗΨF^{a}LΥΠCV τὴν et τοῦ om ΜΟΦΗΡ^{a}ΠS 7 υἱὸν add post θεοῦ (ut vid e coni) ΜΟΦΗΡ^{a}ΓCv ante τοῦ ΠS in marg V^{2} οὐ: οὐδὲ E ὁ προφήτης φησὶν Π 8 ante φωτὶ add τῷ ΓS^{2}Cv ἐν γὰρ: τὸ γὰρ ἐν V φησὶν om YV ὀφώμεθα F^{a}Π 9 ante οὐκ add εἰ οὖν ΜΟv καὶ E σημαίνει ὡς V ante φωτὶ add τῷ ΓCv γὰρ om ΜΟΨF^{a}YV 10 ἀφιδεῖν Y εἰς: πρὸς V om F^{a} post ἥλιον add τὸν E 11 post τουτέστι add ἐν ΜΟΦΗΡ^{a}ΓL^{2}ΠSCv ἐκπορευόμενον Π 12 τὸ om Y 13 δόξᾳ L ante υἱοῦ add τοῦ ΜΟΦΗΡ^{a}ΓΛLΠS^{2}v ἐγίνετο F^{a}Π γίνεται ΜΟΦΗ P^{a}ΓSv 14 τὴν om Φ φήσωμεν ΦΨF^{a}ΠC 15-16 τοῖς ῥηθεῖσι Ψ 16 ὅτ' ἂν ΜΟP^{a}ΓLΥΠCV λέγει ΦΗF^{a}ΠVv ante οὔτε add ὃν S ἴδεν ΗΨF^{a}LΥΠCV post εἶδεν (ἴδεν) add αὐτὸν ΛLΠV^{2}v 17 τε alt om ΦΗP^{a}ΓΠ τε καὶ ut vid in ras C τοῦ alt om E^{1} (sscr E^{2}) YCV 18 χωρητικὴ ΦΛΥΠ κατέστηκεν Ψ 19 ἀποφηνάμενος — θέαμα: εἶναι ἀποφηνάμενος τὸ ἀκήρατον θέαμα C θέαμα: θεῖον M^{2}ES θεῖον θέαμα (ut vid e coni, cf 91,4) M^{1} (θέαμα del M^{2}) ΟΦΗΡ^{a}Γv οὔτε: οὐθ' Y οὐδὲ ΛLΠ

τὴν ἱστορίαν ἀληθεύειν ἐπάναγκες. ἄρα φανερῶς ἡ κακουργία τῶν πνευματομαχούντων πεφώραται, ὅτι τῷ ὁμοίῳ καθορᾶσθαι τὰ ὅμοια παρὰ τῆς γραφῆς μεμαρτύρηται. ὁ γὰρ Στέφανος οὐκ ἐν τῇ ἀνθρωπίνῃ φύσει τε καὶ δυνάμει μένων τὸ θεῖον βλέπει, ἀλλὰ πρὸς τὴν τοῦ ἁγίου πνεύματος χάριν ἀνακραθεὶς δι' ἐκείνου ὑφώθη πρὸς τὴν τοῦ θεοῦ κατανόησιν. οὐκοῦν εἰ χωρὶς πνεύματος οὔτε κύριον Ἰησοῦν ἔστιν ἰδεῖν, καθώς φησιν ὁ ἀπόστολος, οὔτε τὴν πατρικὴν δόξαν κατανοῆσαι, δέδεικται σαφῶς, ὅτι ὅπου τὸ πνεῦμά ἐστιν ἐκεῖ καὶ ὁ υἱὸς καθορᾶται καὶ ἡ πατρικὴ δόξα καταλαμβάνεται. 38 L.

Ἀλλ' ἕτερον ἡμῖν ἐκ τῶν ἱστορηθέντων ὅπλον ἀσεβείας παρὰ τῶν χριστομαχούντων προβάλλεται. φασὶ γὰρ τὸ καταδεὲς τοῦ μονογενοῦς διὰ τούτων σημαίνεσθαι· τὸ γὰρ παρεστάναι αὐτὸν τῇ δόξῃ τοῦ πατρὸς ἀπόδειξιν ποιοῦνται τοῦ ὑποχείριον εἶναι τῇ τοῦ πατρὸς ἐξουσίᾳ. τί οὖν ὁ Παῦλος, πρὸς αὐτοὺς εἴποιμι ἄν; τί δὲ πρὸ ἐκείνου ὁ προφήτης Δαβίδ, ἀμφότεροι τῇ διδασκαλίᾳ τοῦ πνεύματος τὴν τοῦ μονογενοῦς δόξαν ἐκδιηγούμενοι; ὅ τε γὰρ Δαβίδ φησιν· Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου· ὅ τε ἀπόστολος ἐν δεξιᾷ τοῦ θρόνου τοῦ θεοῦ κεκαθικέναι λέγει τὸν κύριον. εἰ οὖν ἡ στάσις τῆς ἐλαττώσεως, ἡ καθέδρα πάντως τῆς ὁμοτιμίας ἐστὶ σημεῖον, ἢ τοίνυν παραγραφέσθωσαν

6-7 cf I Tim 6,16; I Cor 12,3 16-17 Ps 109,1 17-18 Col 3,1; Hebr 1,3

ΜΟΦΗΡ^{a}ΓΨF^{a}ΕΛΥΠSCV 1 ἀληθεύειν in ras (del est verbum incipiens ἀνα...) V ἐπαληθεύειν Π ἄρα P^{a}ΓΕ post ἄρα add οὖν SC 2 πνευματομάχων MOv πεφανέρωται ΛL τῷ: τὸ F^{a} 3 μεμαρτύρεται L μεμαθήκαμεν ΦΗΡ^{a}Γ 4 βλέπειν F^{a} 5 ἀνακραθεὶς: in marg μεμιχθεὶς Y 6 εἰ — ἰδεῖν om F^{a} ante πνεύματος add τοῦ P^{a}Γv Ἰησοῦν: υἱὸν L om V^{1} (in marg add V^{2}) coll post ἔστιν E post ἰδεῖν S ἰδεῖν: εἰπεῖν MOP^{a}ΓVv (cf I Cor 12.3) 7 φησιν om V^{1} (sscr V^{2}) κανοῆσαι sscr τ H κατανοεῖν Y 8 σαφῶς: in marg φανερῶς Y ὁ sscr F^{a} υἱὸς: κύριος ΦP^{a}Γ καθορᾶται: ἐστιν Ψ 9 ἡ om ΕΛ 10 ἱστορηθέντων: σκοπηθέντων ΦP^{a}ΓS ὅπλον: ὅπλων τῆς F^{a} εὐσεβείας P^{a} ἀσεβούντων Y παρὰ: ἐκ ΛL 11 Χριστομάχων MOv φησὶ P^{a} τὸ om Π^{1} (in marg add Π^{2}) post μονογενοῦς eras est alt τοῦ μονογενοῦς E 12 τούτου ΜΟΦΗ P^{a}ΓSv γὰρ om P^{a}Γ (in editione separata falso ad lin 10 indicatur) παριστάναι P^{a}Y ἱστάναι ΦΗ ante τῇ add ἐν ΨYSCV^{1} (del V^{2}) δόξῃ: δόξᾳ L^{1} (in marg δεξιᾷ L^{2}) δεξιᾷ MOP^{a}Γv δὲ (= δεξιᾷ) S 13 ἀπόδειξιν — πατρὸς om ΛL ποιοῦν P^{a} τοῦ (post ποιοῦνται): τὸ ΗP^{a}Γ ΨF^{a} εἶναι om V^{1} (in marg add V^{2}) 14 ὁ pr om P^{a} πρὸς om HP^{a} εἴποιμ' Y εἴποι ESV^{2} εἴποιεν ΓΛLC ante πρὸ add καὶ MOP^{a}ΓS^{2}v 14-15 Δαβὶδ ὁ προφήτης Ψ 16 γὰρ om Ψ φησιν coll post κυρίῳ μου (16-17) ΛLYCV om F^{a}E 17 τε: δὲ ΜΟΦΗP^{a}ΓΠv τοῦ θρόνου om V^{1} (sscr V^{2}) 18 καὶ καθηκέναι F^{a}Π τὸν κύριον λέγει Π ἡ (ante καθέδρα) om Λ 19 ἀπογραφέσθωσαν C

τὰς μεγαλοπρεπεῖς μαρτυρίας, δι' ὧν τὸ ὑψηλὸν τῆς ἀξίας διασημαίνε-
40 L. ται ἢ καὶ ταύτην εὐσεβῶς ἐκδεχέσθωσαν. ἴση γὰρ ἐφ' ἑκάστου τῶν
εἰρημένων διδάσκαλος ἡ τοῦ πνεύματος χάρις. ὁ μὲν γὰρ Στέφανος,
πλήρης ὢν πνεύματος ἁγίου, εἶδέ τε ἃ εἶδε καὶ ἃ εἶδεν ἐφθέγξατο. ὁ
5 δὲ Δαβὶδ ἐν πνεύματι καλεῖ αὐτὸν κύριον, καθὼς λέγει τὸ εὐαγγέλιον·
Παῦλος δέ, καθὼς αὐτὸς ἐκεῖνός φησιν, ἐν πνεύματι λαλεῖ τὰ μυστή-
720 M. ρια. εἰ οὖν εἷς ὁ διδάσκαλος, οὐδεμίαν πρὸς ἑαυτὸν διαφωνίαν ἔχων,
ὁ δὲ διδάσκαλος τὸ πνεῦμα τῆς ἀληθείας ἐστί, τὸ ἐν τοῖς θεοφορουμέ-
νοις γενόμενον, πῶς ἄν τις διαφωνίαν τινὰ τῶν δογμάτων καθυποπτεύ-
10 σειεν; ἀλλ' ἕτερον ἡ καθέδρα, φησί, καὶ ἕτερον ἡ στάσις ἐνδείκνυται
νοῦν κατὰ τὸ προχείρως νοούμενον. φημὶ κἀγώ. ἀλλ' οὐχ, ὅπερ ἐπὶ
τῶν σωμάτων ἡ τῶν ῥημάτων ἔμφασις δείκνυσι, τοῦτο καὶ ἐπὶ τῆς
ἀσωμάτου φύσεως εὐαγές ἐστι λογίζεσθαι. ἐπ' ἀνθρώπου μὲν γὰρ ἡ
καθέδρα τὴν ἐπ' ἰσχίῳ τοῦ σώματος ὑπογράφει θέσιν, ὡς ἂν μὴ διὰ
15 παντὸς κάμνοι τῆς ἀγκύλης ὁ τόνος ἐφ' ἑαυτοῦ τὸ βάρος ἀνέχων τοῦ
σώματος. καὶ τὸ ἔμπαλιν ἡ στάσις ὄρθιον ἐπὶ γονάτων ἑρμηνεύει τὸν
ἄνθρωπον, οὐκ ἐπ' ἰσχίων διὰ καθέδρας ἀναπαυόμενον. ἐπὶ δὲ τῆς
ὑπερεχούσης φύσεως καθαρεύει τῶν τοιούτων νοημάτων ἡ καθέδρα τε
καὶ ἡ στάσις, ἐπίσης ἑκατέρα τῆς κατά τὸ πρόχειρον νοουμένης ἐμφά-
42 L. σεως κεχωρισμένη. οὔτε γὰρ τὴν ἐπ' ἀγκύλης στάσιν τοῦ ἀσωμάτου

4-5 Matth 22,43 6 cf I Cor 14,2

ΜΟΦΗΡ^{a}ΓΨF^{a}ΕΛLΥΠSCV 1 μεγαλοπρεπεῖς: θεοπρεπεῖς ΜΟΦΗΡ^{a}Γv ἀξίας: δεξιᾶς M^{1} (corr M^{2}) Ov 2 καὶ: κατ' F^{a} αὐτὴν ΦΗΡ^{a}ΓF^{a} ἴση: εἷς ΜΟΦΗΡ^{a}ΓF^{a}ΑLΠV^{2} (ἴση V^{1}) v ἑκάστῳ C 3 διδάσκαλος om S^{1} (sscr S^{2}) γὰρ om L^{1} (sscr L^{2}) 4 ἴδεν ... ἴδεν ... ἴδεν ΦΗΨ F^{a}ΥΠCV τε om P^{a}ΓΠ 5 αὐτὸν καλεῖ ΟΨCv κύριον: Ἰησοῦν Φ εὐεαγγέλιον V^{1} (corr V^{2}) 6 δὲ om Π αὐτὸς om ΨΥC post φησιν add διδάσκει ὅτι Ψ τὰ om ΥΠ 7 εἷς om F^{a} ὁ om P^{a} post διδάσκαλος add καὶ Γ πρὸς ἑαυτὸν om Ψ αὐτὸν P^{a} διαφωνίαν πρὸς ἑαυτὸν CV^{1} (corr V^{2}) 8 δὲ: γὰρ M^{1} (corr M^{2}) Ov ἐστι coll post διδάσκαλος ΜΟΦΗ P^{a}ΓΠv θεοφόροις C 9 γενόμενον: γινόμενον ΦΗΡ^{a}Π νοούμενον (νοου in ras) V τινὰ om V τῶν om MOV^{1} (sscr V^{2}) post τῶν add γινομένων ΠV^{2} καθυποπτεύσειεν: in marg ὑπονοήσειεν Y 10 ἡ pr om Λ 11 νοῦν: νῦν P^{a}ΓΠ^{2} σύμφημι SC ὅπερ: ὥσπερ C 13 εὐαγές ἐστι λογίζεσθαι: εὐαγγελίζεσθαι F^{a} ἐπὶ SC γὰρ om YS 14 ἐπ' ἰσχίων SCV ἐπὶ τῷ ἰσχίῳ ΜΟΦΗΡ^{a}Γv ἐπὶ τῶν σχίων Π ὑπογράφη H ἂν sscr S^{2} 15 κάμνει Π ἀγκύκλης L^{1} (κ del L^{2}) ἑαυτῷ F^{a} ἑαυτῆς Π ἀντέχων Π ἔχων P^{a} 15-16 τοῦ τοῦ σώματος L^{1} (corr L^{2}) 16 τὸ om H ὄρθριον F^{a} ante γονάτων add τῶν ΠSV^{2} 17 ἰσχίῳ v διὰ: ἐπὶ ΛLΠ ἐπεὶ HF^{a} τῆς om v 18 νοημάτων om Γ 19 ἐπίσης: ἐπ' ἴσης ΜΟΕ ἐφ' ἴσης ΦΗLΠV^{1} (corr V^{2}) in marg ἐξ ἴσου Y 20 καὶ χωρισμέναι F^{a} κεχωρισμένης (ex -μένη) V^{2} τὴν: τῆς P^{a} ἀγκύλῃ ΛVv ἀγκύκλης L^{1} (κ et ς del L^{2}) ἀσωμάτου: σώματος Π

οὔτε τὴν ἐπ' ἰσχίων καθίδρυσιν τοῦ ἀσχηματίστου παραληψόμεθα, ἀλλὰ δι' ἑκατέρας φωνῆς τὸ ἐν παντὶ ἀγαθῷ στάσιμον καὶ ἐν παντὶ ἀμετάθετον εὐσεβῶς ἐνοήσαμεν. ὅ τε γὰρ ἑστάναι καὶ ὁ καθῆσθαι τὸ θεῖον λέγων οὐδὲν πρὸς ἀλλήλους ἐν τῇ τῶν ῥημάτων ἑτερότητι περὶ τὸν νοῦν διαφέρονται, ὁ μὲν βεβηκέναι παγίως, ὁ δὲ καθιδρῦσθαι ἀμεταθέτως τὸ θεῖον ἐν τῷ ἀγαθῷ δογματίζοντες. ὥσπερ δὲ ὁ προφήτης Δαβὶδ καὶ ὁ ἀπόστολος Παῦλος τὴν τοῦ μονογενοῦς καθέδραν ἐν τοῖς καθ' ἑαυτὸν ἑκάτερος λόγοις διηγούμενοι οὐκ ἔδωκαν νοεῖν, ὅτι τοῦ πατρὸς ἑστῶτος ὁ υἱὸς ἐν καθέδρᾳ ἐστί, καίτοι μόνης μνησθέντες τῆς τοῦ υἱοῦ καθιζήσεως, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ Στεφάνου τοῦ υἱοῦ τὴν στάσιν ἀκούσας οὐκέτ' ἂν εὐλόγως περὶ τῆς τοῦ πατρὸς καθέδρας ὑπονοήσειας. ὡς γὰρ ἐπὶ τοῦ Παύλου καί τοῦ Δαβὶδ τὸ καθῆσθαι τὸν πατέρα διὰ τοῦ καθίσαι τὸν υἱὸν ἐκ δεξιῶν συνωμολόγηται, καίτοι τοῦ λόγου μηδὲν περὶ τοῦ πατρὸς προδιδάξαντος, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ Στεφάνου ἡ τοῦ υἱοῦ στάσις τὸ ἴσον καὶ ἐπὶ τῆς δόξης τοῦ πατρὸς συνενδείκνυται. οὕτω γὰρ ἂν ὁ τῆς εἰκόνος διασωθείη λόγος, εἰ πᾶν ὅ τί πέρ ἐστιν ἐν τούτῳ νοούμενόν τε καὶ καθορώμενον τὸ αὐτὸ

6sq cf supra 92,4-6

ΜΟΦΗΡ^{a}ΓΨF^{a}ΕΛLΥΠSCV 1 ἐπ' ἰσχίῳ M^{1} (corr M^{2}) ΟΗΡ^{a}ΓΥ (in marg add κατρέδα) ν ἐπὶ ἰσχίων S τῶν ἐπισχίων ΦV καθέδραν S παραληψώμεθα ΓΠ παραλημψόμεθα Ψ 2 ἑτέρας Ψ τὸ: τῷ ΓL^{1} (corr L^{2}) C ἀγαθὸν LΨE post ἀγαθὸν (pro ἀγαθῷ) add καὶ E ante καὶ add ται V^{1} (sscr ε = τε V^{2}) ἐν παντὶ alt om V 2-3 καὶ ἐν παντὶ — ἐνοήσαμεν om H 3 ἐννοήσωμεν ΠV^{2} (ex ἐνοήσαμεν) νοήσωμεν M^{1}ΟΓ νοήσομεν M^{2}P^{a}Sv ὅ τε: ὅτι F^{a} καθσθαι sscr η Π καθήσεσθαι ΦΗP^{a} 4 θείων sscr ο L ἐν om V^{1} (sscr V^{2}) 6 post δὲ ὁ add τε CV^{1} (del V^{2}) 7 Παῦλος om V^{1} (add V^{2}) τῇ ... καθέδρᾳ F^{a} 8 καθ' del V^{2} ἑαυτοὺς ΦΗΓΨΥV^{1} ἑαυτοῦ F^{a}V^{2} ἑαυτοῖς P^{a} ἑαυτῶν L^{2} in marg ἑκατέροις ΦF^{a}L ἑκάτεροι Λ ἐκδιηγούμενοι Γ οὐδεδωκανοεῖν (= οὐδ' ἔδωκαν νοεῖν) H 9 post καίτοι add γε MOv 10 υἱοῦ pr: Χριστοῦ Π^{1} (corr Π^{2}) καθηζήσεως F^{a} καθηγήσεως Γ ante τοῦ υἱοῦ alt add ὁ Λ^{1} (del Λ^{2}) 11 οὐκ ἔτ' ἂν M^{2}LYV οὐκέτι ἂν ΦP^{a}C οὐκ ἔτι ἂν Γ οὐκ αἰτίαν M^{1}O οὐκ ἄν τις S περὶ τῆς: τὴν Π τοῦ πατρὸς om Y post πατρὸς add μόνου M^{2}F^{a}ES καθέδραν Π 12 ὑπονοήσειας MOEν ὑπονοήσιες Ψ ὑπονοήσει Y ὑπονοήσειεν cet ὡς: ὃν F^{a} ὥσπερ ΛL οἷς Ψ ἐν οἷς Y γὰρ om F^{a} καθέσθαι sscr η Π 12-13 τὸν πατέρα om P^{a} 13 δι' αὐτοῦ F^{a} διὰ — καθίσαι om P^{a} καθήσαι ΦHYV καθῆσθαι F^{a}SC 14 περὶ om V προδιδάξαντος: προ sscr Λ ἐκδιδάξαντος F^{a} προδείξαντος Π^{1} (δα sscr Π^{2}) 15 τὸ: τὸν ΓF^{a} ἴσον MESv καὶ alt sscr S καὶ ἐπὶ om ΛL 16 συνεδείκνυτο P^{a} συνενδείκνυται sscr ν (= -νυται) F^{a} οὕτω: οὔτε ΛL γὰρ in textu ὡς in marg L ἂν om Y διασωθῆ P^{a}F^{a} 17 εἰ: ἢ M^{1} (corr M^{2}) OC πέρ ἐστιν: πάρεστιν Y ἐν τοῦτον (ἐν addidisse vid Π^{2}) Π τε om ΦHP^{a}Γ τε — καθορώμενον om F^{a} τῷ αὐτῷ ΗΓF^{a}

καὶ ἐν τῷ ἀρχετύπῳ πιστεύοιτο. καὶ ὡς ἐν τῷ ἀγαθῷ τὸ ἀγαθὸν καὶ ἐν τῷ φωτὶ τὸ φῶς καὶ ἐν πᾶσι τὸ πρωτότυπον κάλλος διὰ τῶν οἰκείων ἐν τῇ εἰκόνι χαρακτηρίζεται, οὕτω καὶ ἐν τῇ καθέδρᾳ τοῦ υἱοῦ, ὅ τί ποτε νοεῖν τοῦτο τὸ ὄνομα δίδωσι, καὶ ἡ τοῦ πατρὸς καθέδρα καταλαμβάνεται, καὶ ἐν τῇ στάσει ἡ στάσις, ὡς ἂν μὴ διαπέσοι τῆς εἰκόνος ὁ λόγος, ἐν τῇ ἀπαλλάξει τῶν ἰδιωμάτων τοῦ ἀρχετύπου ἀλλοτριούμενος.

Ταῦτα ἡμῖν, ἀδελφοί, κατὰ πάροδον πρὸς τὸ προκείμενον ζήτημα τεθεωρήσθω, τῆς τοῦ Στεφάνου ὀπτασίας τὴν τοιαύτην θεωρίαν ἐπεισενεγκούσης τῷ λόγῳ. γένοιτο δὲ ἡμᾶς μὴ θεατὰς μόνον γενέσθαι τῆς τοῦ Στεφάνου ἀθλήσεως, ἀλλὰ καὶ μετόχους τῆς χάριτος πληρωθέντας τοῦ ἁγίου πνεύματος, εἰς καθαίρεσιν τῶν ἀντιδίκων, εἰς δόξαν τοῦ
721 M. κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΜΟΦΗΡ^{a}ΓΨF^{a}ΕΛLΥΠSCV 1 καὶ ὡς: καὶ ὥσπερ ΠV^{2} (καὶ ὡς V^{1}) καθὼς ΦΗΡ^{a}Γ post καθὼς (pro καὶ ὡς) add καὶ P^{a} 2 κάλος F^{a} 3 ἐν pr om F^{a}ΠV^{1} (in marg add V^{2}) 4 τὸ ὄνομα τοῦτο δίδωσι V^{1} (corr V^{2}) τὸ om Φ ὄνομα: νόημα S πατρὸς: σωτῆρος Λ^{1} (corr Λ^{2}) L 5 ante καὶ add ὁμοίως ΜΟΠν ὁμοίως δὲ ΦΗΡ^{a}ΓSC ἐν om Ψ διαπέσει F^{a} διαπέση Y 6 ἐπαλλάξει M^{2} (ut vid ex ἀπαλλάξει) ΦΗΡ^{a}ΓΛLYS ὑπαλλάξει EV 8 ταῦθ' Y ὑμῖν ΛL^{1} (sscr ἡ L^{2}) C fort M^{1} (η in ras) 9 τεθεωρήσθω: τεθεωρείσθω Λ^{1} (corr Λ^{2}) L fort M^{1} (η in ras) τεθεωρέσθω Ψ ἐπεσενεγκούσης F^{a} δ' Y 10 θεατὰς γενέσθαι μὴ μόνον Γ 11 Στεφάνου: ἁγίου ΦΗΡ^{a}Γ post μετόχους in extrema pagina verba non iam legi possunt H πληρωθέντες Φ 12 ἀντιδίκων: ἐναντίων S post ἀντιδίκων add εἰς κατάλυσιν τῶν ἐπεμβαινόντων δεινῶν, εἰς τιμὴν καὶ κράτος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ ἡ προσκύνησις καὶ ἡ μεγαλοπρέπεια ἅμα τῷ πατρὶ σὺν ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ P^{a} εἰς alt: καὶ Γ om Π post δόξαν add δὲ Π πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ Ψ sscr καὶ ἔπαινον V^{2} 12-13 εἰς δόξαν — κράτος om P^{a} τοῦ κυρίου — κράτος om Ψ 13 ᾧ — κράτος: μεθ' οὗ τῷ πατρὶ τιμὴ κράτος σὺν ἁγίῳ πνεύματι Π post δόξα add σὺν τῷ ἀχράντῳ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι V καὶ τὸ κράτος om ΦΓΕΛLYCV 14 τῶν αἰώνων om ΜΦF^{a}YV ἀμήν om MF^{a}

COMENTARIO

(75, 4 - 12) ὡς καλὴ τῶν ἀγαθῶν - κειμένῳ

El exordio comienza majestuoso, con *bicola* coordinados por asíndeton y seguidos por un verbo elíptico. En la primera oración puede apreciarse la siguiente disposición sintáctica: interjección - adjetivo - sustantivo - sustantivo. En la segunda oración, los *bicola* no presentan la misma ordenación que en la anterior, sino que la estructura viene variada mediante un quiasmo: verbo - sustantivo - sintagma nominal; sustantivo - verbo preposicional - sustantivo. Sin embargo, el autor rompe esta estructura simétrica en la tercera oración, donde el primer colon presenta la disposición adverbio temporal - pronombre - sustantivo - sustantivo - verbo; el segundo algo más sencillo: adverbio temporal - sustantivo - sustantivo - verbo elíptico. El siguiente período sigue la misma ordenación: una pregunta retórica con una repetición anafórica del adverbio πῶς en la primera oración; de la segunda en adelante una estructura sintáctica idéntica repetida anafóricamente en cuatro ocasiones, desarrollada mediante un antítesis entre los pronombres οὗτος (referido a Esteban) y ἐκεῖνος (referido al Señor) para marcar la diferencia entre los dos estados. La antítesis entre las dos figuras se desarrolla estilísticamente entre *bicola* coordinados por asíndeton prácticamente idénticos e hipérbata para conferir a la estructura un tono más solemne: sustantivo - sustantivo - preposición - sustantivo - verbo. A nivel léxico, los primeros *bicola* son prácticamente idénticos; lo único que cambia para que se desarrolle la antítesis es el verbo: en el caso de Cristo el verbo ἐνδύω, al haber asumido la naturaleza humana, y en el caso de Esteban el verbo ἀποδύω, al haberla abandonado a causa del martirio. La misma estructura se repite en la segunda oración, idéntica a nivel sintáctico y estilístico, con la única excepción del sintagma verbal para poder marcar el contraste entre Cristo, que aceptó la cueva

de la vida (ὑπέρχομαι) y el otro que la abandonó (ὑπεξέρχομαι). El mismo orden vale para la tercera y cuarta oración; sin embargo, el predicador, para modular el tono del discurso, cambia la estructura a nivel léxico: en la tercera encontramos el contraste entre el verbo σπαργανόω (fajar) y el verbo καταλιθόω. El autor da la impresión, utilizando el prefijo κατά, que Esteban es "envuelto en piedras", "apedreado hasta la muerte" (otros ejemplos en Liddell - Scott - Jones - Mckenzie 1996, 898). En el léxico de Lampe, no aparece esta forma, sin embargo aparece καταλιθάζω, atestiguada en Lucas (*Lc.*, 20, 6): "decorar con piedras preciosas". En la última oración, la antítesis ya es tajante, al existir una estructura léxica completamente opuesta: Cristo destruye la muerte (ἀναιρῶν τὸν θάνατον) y Esteban se somete a ella (ἐπεμβαίνων κειμένῳ). Cabe destacar, a nivel lingüístico, la diferencia de términos referidos a la muerte, en el caso de Cristo definida como θάνατος, más común en toda la literatura griega, y el participio substantivado κειμένος para Esteban, el cual, en su significado más absoluto, significa "hallarse en tal estado", o como glosa el Lexicon, "to rest entirely", "be dependent on him", más bien, como los ejemplos de *Il*., 17, 514 y de 20, 35 mejor especifican: ταῦτα θεῶν ἐν γούνασι κεῖται (véase Liddell - Scott - Jones - Mckenzie 1996, 934). Leemans subraya también esta antítesis, precedentemente desarrollada, afirmando que esta oposición se lleva a cabo mediante un sistema sintáctico de "six-times-two-clauses", donde la repetición en cada oración de una *keyword* sirve para marcar el ritmo de su parte correspondiente. Este factor permite, según el estudioso belga, presentar desde el principio del discurso a Esteban como imitador del Señor (ὁ μιμητὴς τοῦ δεσπότου) y el primer cristiano virtuoso (Leemans 2007, 12). No se ha de dejar de lado la contraposición entre Cristo y Esteban (*In s. Steph*. I, 75, 7-8: "el uno aceptó la cueva de esta vida para nosotros, el otro la dejó para él") mediante la alegoría de la caverna (Plat., *Respubl*., VII, 514a - 540b [p. 145-151]) como prueba del platonismo niseno. Una explicación del μῦθος en sí y su conexión entre la figura de Esteban y la de Cristo

puede encontrarse en la recontextualización que se hace del mismo. La encarnación de Dios en la figura de Cristo, el cual asume la naturaleza humana en virtud de la expiación de los pecados humanos (ἐκεῖνος τὸν ἄνθρωπον ὑπὲρ ἡμῶν ἐνδυόμενος) y su ingreso en la cueva de la mortalidad humana siempre por el mismo principio (ἐκεῖνος τὸ τοῦ βίου σπήλαιον δι΄ ἡμᾶς ὑπερχόμενος), se debe esencialmente, como destaca Daniélou (1970, 165-169), a la asunción de la corrupta naturaleza humana, puesto que mientras según Platón es el cuerpo la prisión del alma y la vida terrenal la caverna, para Gregorio la caverna sirve para indicar el estado de pecado y de corrupción el cual —como ya se ha indicado en otros pasajes— está representado por las túnicas de piel (Daniélou 1970, 7). No obstante, ya en Platón se vislumbra una opción de rescate y de salvación de la prisión de la espelunca, como el mismo filósofo precisa (*Respubl.*, 517b [p. 147]: "en su salida al mundo superior y a la contemplación de su maravillas, véase representada la subida del alma a un lugar ininteligible"). Esta observación, junto a su explicación relativa, tiene eco en otro pasaje del mismo Gregorio (*De beatitud.*, 77, 9 - 78, 9): "la palabra [*scil*. divina] disipa toda sombra que asoma desde las colinas de la maldad y, al resplandecer por doquier mediante el rayo de la luz verdadera (τοῦ ἀληθινοῦ φωτὸς ἀκτῖνι), nos permite ver desde una atalaya (ἐκ περιωπῆς), en un puro aire de verdad, todo aquello que es invisible (ὅσα […] ἀθέατα) para aquellos que se encuentran recluidos en la caverna (τοῖς ἐν τῷ κοίλῳ καθειργμένοις). Desde esta cima —desde la cual se divisan cuáles y cuántas son las realidades el mismo Dios-*Logos*—, este, llamando beatos a aquellos que han ascendido con él, les indica, como si lo hiciera por ejemplo con un dedo, que aquí está el reino de los cielos (ἔνθεν μὲν τὴν τῶν οὐρανῶν βασιλείαν), y allá la herencia de la tierra superior (ἑτέρωθεν δὲ τῆς ἄνω γῆς τὴν κληρονομίαν); después de esto, les enseña la misericordia, la justicia, el consuelo y el parentesco que se ha cumplido con el Dios de todas las criaturas, del mismo modo que el fruto de las persecuciones, mediante el cual se participa de la

comunión con Dios, y todo aquello que es posible contemplar allí arriba, en la cima de la montaña, donde el *Logos* enseña con el dedo aquello que se llega a contemplar, mediante la esperanza, desde aquel punto de observación (τὸ ἐκ τῆς ὑψηλῆς σκοπιᾶς διὰ τῶν ἐλπίδων ἀποβλεπόμενον)". Este tópico de la observación (σκοπιά), muy frecuente en Gregorio (Daniélou 1944, 122-124), se encuentra de una manera muy análoga —a propósito de aquellos que contemplan ataráxicamente desde un punto de vista elevado las miserias de las pasiones humanas— en el *Cantar de los Cantares* (*In cant. cantic.*, IV, 2, 10-13): "aquellos que se han marchado de una vida repleta de pasiones ven de lejos las pasiones humanas, al estar en una vigía, y deploran la suerte de aquellos que son esclavos de dicha pasión".

(75, 13 - 77, 5) ἀλλὰ συνδράμωμεν - ἀλλάξασθαι

Siguiendo la subdivisión en apartados según la estructura del *Περὶ ἐπιδεικτικῶν* de Menandro de Laodicea, quedaría por último, en nuestro análisis, determinar el género que correspondería a esta oración. Por definición, como apunta el autor en el epígrafe del texto, este debería ser un encomio, como confirma la tradición manuscrita (*In s. Steph.* I, *in app. crit*., p. 75: definición admitida por todos los manuscritos, excepto por los manuscritos O, E, Λ y L). El texto, aunque no sigue fielmente los cánones, presenta una subdivisión que nos permite sostener que se trata de un encomio en toda regla. En el προοίμιον, como hemos visto, el autor desarrolla el encarecimiento (αὔξησις) del personaje mediante la oposición con la figura de Cristo. Gregorio desarrolla sus virtudes morales, aquello que dentro de los cánones de la retórica era definido como τὰ περὶ ψυχήν. Esteban es definido como "gran atleta", "el primero", "el gran defensor de la fe". Sin embargo, es en *In s. Steph.* I, 76, 19 - 77, 5 donde el encarecimiento culmina en su alabanza: "¿quién no podría dejar de admirar esta

nueva forma de lucha, cuando la verdad se discernió entre la vida y la muerte y la muerte misma se convirtió en la demostración de la verdad? El heraldo de la vida oculta y desconocida hasta el momento proclamó, pues, de obra, el anuncio a los hombres; para aquellos que juzgan sabiamente, el abandonar resolutivamente esta vida era la demostración de que adoptaba una vida preferible en lugar de aquella que abandonaba".

El subjuntivo exhortativo (συνδράμωμεν) introduce el tránsito entre el proemio y el encarecimiento del mártir. El predicador invita a su auditorio a acudir al θέατρον (lugar ficticio donde será representada la muerte de Esteban - ἔκφρασις), definido a continuación como el στάδιον τῆς ὁμολογίας. La imagen icástica de la lucha en la arena, como ha evidenciado Mühlenberg (2012, 131), es un mero expediente retórico que sirve principalmente para dramatizar el texto bíblico: "Gregor nutzt das Bild vom Wettkampf in der Arena zur Dramatisierung des biblischen Textes". De hecho, en el primer párrafo (*In s. Steph.* I, 75, 13 - 76, 6), Gregorio utiliza ambos términos especificando, en un segundo momento, el significado de θέατρον utilizando la terminología paulina de *1Cor.*, 4, 9: "un espectáculo para el mundo, los ángeles y los hombres". El uso del lema στάδιον no es casual, ya que mediante este término Gregorio vuelve a reproducir la ya ampliamente utilizada metáfora de la competición atlética, parafraseando así a Pablo *1Cor.*, 4, 9. Esta se desarrolla a lo largo de este párrafo, donde Esteban, por primera vez mencionado por su nombre —puesto que en el proemio Gregorio, para conferir más solemnidad al prologo, recurre a la figura retórica de la *praeteritio*—, representa al atleta que se enfrenta al terrible adversario de la vida humana —*praeteritio,* en esta ocasión, para el diablo— definido como ὁ πονηρὸς ἀντίπαλος τῆς ἀνθρωπίνης ζωῆς, el terrible enemigo de la vida humana. El uso de la terminología agonística, en esta ἔκφρασις, se funde con el léxico militar. El niseno, a lo largo de esta oración, se sirve ampliamente de estos símiles. Esteban de hecho es presentado ya sea como un atleta, como en este caso y en otros pasos

(ἀθλητής: *In s. Steph.* I, 76, 11; 88, 7; 88, 17), ya sea como un guerrero (ἀγωνιστής: *In s. Steph.* I, 76, 16; 85, 14). Él, ensalzando la figura de Esteban, matiza su epíteto de protomártir, repitiendo hasta tres veces el adjetivo πρῶτος (*In s. Steph.* I, 76, 4-6): él ha sido el primero en recibir la corona (juego de palabras con el término στέφανος) del martirio, el precursor en haber allanado el camino para el coro de los mártires y el primero en resistir al pecado hasta la sangre. Cabe destacar la repetición del campo semántico μάρτυς - μαρτυρία, *lectio difficilior* también en la última frase, como algunos manuscritos han copiado (*In s. Steph.* I, *in app. crit*., p. 76) μαρτυρίαν en lugar de ἁμαρτίαν. Sin embargo, Gregorio opera una *variatio* estilística citando de memoria a Pablo, *Hebr.*, 12, 4: "después de todo, en la lucha contra el pecado, vosotros no habéis resistido todavía hasta derramar vuestra sangre". El martirio también se presenta, siguiendo la metáfora de Pablo, como una competición (ἀγών: *In s. Steph.* I, 84, 3; 84, 21); ἄθλησις (*In s. Steph.* I, 77, 7); ἆθλον (*In s. Steph.* I, 84, 21; 84, 22); ἀγωνία (*In s. Steph.* I, 84, 22). Como matiza Leemans, Gregorio, junto con hacer hincapié del martirio del santo como prueba fehaciente de ὁμολογία cristiana, remodela su figura, adaptándola al prototipo del santo-mártir del siglo IV (Leemans 2010, 14). Gregorio, además, ensalza, cada vez más, el personaje de Esteban introduciéndolo, en este punto, en una dimensión ultraterrena. Desde una visión cosmológica, a partir de la cual Esteban resulta ser una visión para el cosmos y los hombres, el mártir pasa a un nivel más elevado, convirtiéndose en un objeto de visión por parte de toda la jerarquía angelical, aquella que Gregorio había definido con un inespecífico epíteto de "ángeles", parafraseando a Pablo *Col*., 1, 16 y *Eph*., 1, 21: "toda la legión celestial, todas las miríadas de los ángeles, tanto los […] Principados, las Potestades, los Tronos, las Dominaciones, las Virtudes y toda la asamblea celestial, asisten a la contienda entre los dos contrincantes".

(77, 6 - 77, 8) ἀλλὰ καλὸν - ἐπιδεικνύοιτο

Gregorio pues da comienzo, en este punto, al encomio de Esteban. Según los preceptos menandreos (MENAND., *Περὶ ἐπιδεικτικῶν*, 369-377), el autor debería incluir los aspectos formales del discurso (τόποι ἐγκωμιαστικοί) respecto al panegírico del personaje alabado. Sin embargo, Gregorio prefiere, siguiendo los cánones no dictados de la nueva panegirística cristiana, dejar de lado los aspectos más humanos (como la patria, la educación etc., caballos de batalla de la retórica de la Segunda Sofística) para focalizar el discurso sobre las virtudes del mártir, sus hábitos y sus hazañas (τὰ περὶ ψυχήν, ἐπιτηδεύματα, πράξεις) y poder presentar así a los fieles un modelo a seguir, un *exemplum vitae,* trazando en la mente de su auditorio una clara y nítida imagen del martirio (liter. "la competición") de Esteban. Como también había hecho en el encomio para Teodoro, el autor dibuja una imagen verbal realística (διαζωγραφῆσαι) de la lucha del mártir como si de una pintura se tratara (ἐπὶ πίνακος), con el fin de revelar paso a paso la disposición precisa (τάξις) de los milagros según el orden consecutivo de los acontecimientos (διὰ τῆς τῶν γεγονότων ἀκολουθίας). He aquí pues dos conceptos claves de la exégesis nisena, la τάξις y la ἀκολουθία. Esta última, en la obra del padre capadocio, desempeña la función de categoría exegética como principio filosófico. Según la tesis de Rondeau, la ἀκολουθία en Gregorio constituye l'*enchaînement* necesario que conduce a la beatitud, término de la vida virtuosa (Rondeau 1972, 518). La ἀκολουθία, como categoría interpretativa, entraba dentro de los parámetros exegéticos de las escuelas antiguas, ya que se considera que fue elaborada por primera vez por los estoicos (Rondeau 1975, 271). En el *De anima et resurrectione*, la ἀκολουθία define específicamente el método de Aristóteles respecto al de Platón, ya que el filósofo de Estagira era "quien investigaba de manera científica la concatenación necesaria de los fenómenos" (ὁ τεχνικῶς τοῖς φαινομένοις ἀκολουθῶν [*De an.*

et resurrect., 33, 14 - 34, 7]). Este pasaje desvela la importancia de la herencia aristotélica en la ideología nisena, ya que la noción de ἀκολουθία es asociada a la de τέχνη, en modo particular en lo que se refiere al aspecto de "vínculo", asociación en el examen de las diferentes facetas de lo real. En el *De interpretatione* aristotélico, de hecho, aparecen tanto el verbo ἀκολουθεῖν como el lema ἀκολούθησις en la acepción de "consecuencia necesaria" entre dos factores: "la verdad de una proposición lógica implica necesariamente (ἀκολουθεῖ) la negación de su contrario" (Arist., *De interpret.*, 14-30 [p. 22]), además de ser causal entre dos fenómenos (ἂν δ'αἱ τρίχες ὦσι λευκαί, οὐκ ἀκολουθεῖ τῷ δέρματι ἡ λευκότης [Arist., *De generat. animal*., 1, 784 (p. 192)]). La ἀκολουθία es asociada por el padre capadocio a la θεωρία, del mismo modo que lo habían hecho Galeno (Galen., *De nat. facult.*, 3 [p. 204-207]) y Plutarco (*De E apud Delph*., 6, 386f - 387d [p. 6-7]). El autor griego menciona ambos conceptos, la ἀκολούθου θεωρία, la γνῶσις ἀκολουθίας y la πρὸς τὸ ἡγούμενον ἀκολουθίαν. En el primer caso, Plutarco discierne la capacidad racional del hombre de la de los animales, puesto que estos disponen de conocimiento (γνῶσις) de las cosas; no obstante, solamente el hombre posee el análisis y el juicio sobre el desarrollo consecuencial de las cosas (ἀκολούθου δὲ θεωρίαν καὶ κρίσιν). En el segundo caso, el autor subraya la distinción entre arte lógico, que consiste en el conocimiento de las consecuencias (γνῶσις ἀκολουθίας), y la sensación (αἴσθησις). En el tercer caso, el historiador proporciona la definición propia de la ἀκολουθία, según la definición de los estoicos: la consecuencia, la cual desde la conclusión llega hasta la premisa y que, añadiendo a la realidad la demostración de los hechos, obtiene la conclusión de la demostración (véase, entre los ejemplos más destacables, Clemente de Alejandría [*Strom*., 1, 28 (p. 109); 7, 59, 6-7 (*ibid*., p. 43)] y Plotino [*Enn.*, 1, 8, 2 (p. 116)]). L'ἀκολουθία, por tanto, como Gregorio la define (*De an. et resurrect.*, 39, 6-8), es el vehículo indispensable para la especulación teorética, por el hecho de que su concatenación rigurosa de los principios de la realidad

permite evitar posibles contradicciones mediante un cierto orden consecuencial (τινὰ τάξιν ἀκόλουθον ἐπιτεθῆναι τῇ θεωρίᾳ). No obstante, como Gregorio hace notar en el encomio para Esteban, la ἀκολουθία, en sus múltiples facetas, está indisolublemente vinculada a la categoría exegética de τάξις, al ser el binomio más recurrente en la prosa gregoriana, el del "desarrollo de la naturaleza y de la historia", concepto muy próximo a la interpretación estoica, la cual asignaba a la ἀκολουθία la vertiente de "orden del mundo considerado en su sucesión" (véase Cic., *De nat. deor.,* 2, 58 [p. 61]). Gregorio la define, según esta faceta, así: "aquella que hace que todas las cosas lleguen a ser concordes y simpatéticas entre ellas mediante el orden, la armonía y la concatenación" (Gregor. Nyss., *In inscript. psalm.,* 32, 11-17: τάξει καὶ κόσμῳ καὶ ἀκολουθίᾳ).

(77, 8 - 77, 19) ἄρτι μὲν - προσεγένετο

Gregorio describe mediante una brillante ἔκφρασις la narración de los hechos acaecidos en el día de Pentecostés (*At*., 2, 2-8: "de repente vino del cielo un ruido como el de una ráfaga de viento impetuoso, que llenó toda la casa en la que se encontraban. Se les aparecieron unas lenguas como de fuego que se repartieron y se posaron sobre cada uno de ellos; quedaron todos llenos del Espíritu Santo y se pusieron a hablar en otras lenguas, según el Espíritu les concedía expresarse. Había en Jerusalén hombres piadosos, que allí residían, venidos de todas las naciones que hay bajo el cielo. Al producirse aquel ruido, la gente se congregó y se llenó de estupor al oírles hablar cada uno en su propia lengua. Estupefactos y admirados decían: «¿es que no son galileos todos estos que están hablando? Pues ¿cómo cada uno de nosotros les oímos en nuestra propia lengua nativa?»"), y del archiconocido acontecimiento de la torre de Babel (*Gen*., 11, 1-9): "tenía entonces toda la tierra una sola lengua y unas mismas palabras. Y aconteció que, cuando salieron de Oriente, hallaron una llanura en la

altura"—, no solo no escondió aquellas personas santas que relucían antes de su llegada al igual que las estrellas y que fueron sus precursores, sino que las hizo brillar con más intensidad e hizo que los demás cuerpos luminosos brillaran con Él. Pues los profetas brillaban más con su presencia que antes de aquella. Siendo oscura aún la profecía de las escrituras evangélicas, ellos declararon que, después de que llegara el Salvador al mundo, iluminaría y salvaría a todos, convertido en el cumplimiento de la Ley y de la palabra de los profetas. "no vine pues a abolir la Ley y los profetas, sino a dar cumplimiento".

El Salvador dijo, refiriéndose a sí mismo, acerca de la nueva gracia: "Yo soy la luz de este mundo". La fuente de la bondad que procede del Padre bueno no desdeñó admitir que sus siervos compartieran aquel apelativo, sino que más bien dijo a sus discípulos: "vosotros sois la luz del mundo", y "brillen así vuestras obras ante los hombres". Para que tengamos mejor en mente lo que acabamos de decir, lo hemos de volver a declarar a través de la gracia del Señor: Juan el Bautista fue denominado "lámpara", y en los Salmos fue anunciado y atestiguado por el Señor. Pues el profeta dice de la persona del Padre en la Salmodia, "apresté una lámpara a mi ungido"; es decir, preparé al servidor y al precursor de la luz. El Señor confirma esta palabra del Padre diciendo: "aquel era una lámpara que arde". Sin embargo, esa luz, siendo tal, se retiró a la oscuridad con la venida del Señor, que era el sol de justicia: de este modo, iluminó el Bautista, que se había convertido en el heraldo, y, al mismo tiempo, en el teólogo del Salvador. Por lo tanto, Juan ha sido llamado la lámpara que ilumina únicamente a la casa de Israel.

(102, 10) Los apóstoles del Salvador no eran ni lámparas, ni luces ni estrellas, sino que han sido denominados "rayos de luz", no por iluminar una región o una única área, sino por alumbrar toda la tierra bajo el cielo. Sus líderes a la cabeza y conductores son Pedro, Santiago y Juan, los cuales son venerados

hoy por sus testimonios por Cristo, que corrieron al unísono hacia el final de la vida, ejercitándose, sin embargo, en diferentes formas de martirio.

Aquel que fue designado como cabeza y corifeo del coro apostólico obtuvo la gloria correspondiente a su valor, siendo honrado con un suplicio similar al del Salvador. Colgado en la cruz, representó en manera icástica la imagen real del Señor (me refiero como imagen real a la cruz), sin avergonzarse por su sufrimiento, sino más bien adorándola como un gran trofeo. Ni á él ni a nosotros ni a aquellos que están con nosotros ni a ninguna otra persona [*vacat*] Jesús Cristo Señor nuestro, como dice Pablo. Así, Pedro parece obtener la santidad a través del honor [*vacat*] y consideró loable ser colgado por sus crucifixores cabeza abajo con mucha reverencia, para que no pareciera ser igual al Redentor que fue colgado de la cruz para redimir la humanidad entera y, así, con los brazos abiertos en la cruz, acoger en su abrazo a toda la ecúmene.

(103, 1) Santiago, por su parte, fue decapitado y obligado a desprenderse de su misma cabeza, Cristo, pues, según las palabras del apóstol, Cristo es la cabeza del hombre y, al mismo tiempo, de toda la Iglesia. Por último, el beato Juan, habiendo luchado, a lo largo de su vida, en muchas y diferentes competiciones, se distinguió en todos sus éxitos por su confesión de fe (con respecto al fomento de la religión) [*vacat*] fue escogido para ser enumerado en el coro de los mártires (pues el martirio no se juzga a partir de la conclusión del sufrimiento, sino por la elección del deseo). Así fue la manera de morir de aquellos que han regalado a la Iglesia una memoria inmortal a través de su muerte.

Pues conviene, en realidad, en referencia a este asunto, celebrar las memorias de los susodichos hombres no solo por su unísona piedad, sino también por su unánime valor. Estos eran, en efecto, los únicos discípulos del Señor que lo acompañaban por doquier y en manera especial, al tener, a diferencia de los demás apóstoles, un rango y una intimidad de trato, no según

la percepción de la amistad humana, sino en acuerdo con el discernimiento divino de la verdad.

(103, 16) Se ha de reconocer, por sus grandes maravillas, que ellos fueron los únicos escogidos por el Señor, al ser los más fieles y los más genuinos testimonios de los hechos. Esta fue la visión de la montaña: solamente estaban allí Pedro, Santiago y Juan cuando el Señor, transfigurando su propio cuerpo, lo transformó en su gloriosa y más resplandeciente divinidad, y Moisés y Elías estaban presentes con Él, y, cubierto por la sombra de la nube de luz, mostró esta gran imagen de su majestad. Tal fue el caso también de la hija de Jairo, a la que resucitó estando muerta: allí también ellos fueron espectadores del milagro acaecido. Además de esto, de manera que no me demore reportando cada episodio, podemos constatar que Jesús escogió estos mismos hombres en el momento justo de su pasión redentora, cuando se atrevió a decirles, por el hecho de que fueran fieles y muy valientes: "ahora mi alma está turbada". No cito estas palabras para rebajar al resto de los apóstoles, sino como un testimonio de los conmemorados por su virtud.

(104, 1) Si tenemos que hablar verdaderamente, a continuación es necesario que hagamos un encomio común de los apóstoles; el definir las superioridades y las excelencias en los santos no es propio del discernimiento humano, sino del juicio y de la verdad de Dios. El hecho de que nosotros seamos dignos de compartir las conmemoraciones de hombres de tal magnitud debe ser agradecido, no porque lo debamos (puesto que esto es imposible), sino porque lo podemos (pues esto es aceptable). Los santos requieren honores por nuestra parte, no con el fin de ganar algo al ser celebrados, sino para que obrando bien podamos estar en comunión con ellos. Una vez más creo que no debe ignorarse la memoria de ninguno de los piadosos, no solo de Pedro, Santiago y Juan, sino que debe celebrarse la memoria de todo el coro de los apóstoles. Pues, si los que, según la verdad de los dogmas, tienen la función de miembros, todos unidos

completan la estructura de un cuerpo, cuando se glorifica un miembro, como dice el apóstol, "todos los demás toman parte en su gozo". Por tanto, en lo que respecta a estos hombres bienaventurados y perfectos, para los que todos los elementos son armónicos en relación con la verdad, con la misma manera de pensar y a la misma fe, al ser comunes los beneficios de su piedad, también son comunes los motivos de orgullo según la verdad.

¿Quién no se regocijaría a gusto y se sentiría lleno del Espíritu Santo una vez que haya sido considerado digno de formar parte del coro apostólico, el mismo que guía al mundo entero en el conocimiento de la verdad, el que extiende las redes de la verdadera religión por toda la ecúmene y ha trenzado las redes de la verdad por doquier, de manera que, recogiendo a la vez toda la humanidad embrutecida por el mal, la conduzca a quien la amanse y la salve? "Mas por toda la tierra se adivina el sonido". Estos son los cimientos de la Iglesia, las columnas y los fundamentos de la verdad, estas son las fuentes eternas de la redención, que vierten un caudal abundante, rico y divino, de la verdadera enseñanza. Con respecto a estos asuntos, la voz del profeta nos acompaña, diciendo: "sacaréis aguas con gozo de los manantiales de salvación".

(104, 29) Pedro es conmemorado como cabeza de los apóstoles, y con él se glorifican al mismo tiempo los restantes miembros de la Iglesia, ya que sobre él está edificada la Iglesia de Dios. Pues él es, según el don que le entregó el Señor, la roca más firme sobre la cual el Redentor construyó su Iglesia. De nuevo se conmemora a Santiago y a Juan, hijos del trueno, ya que, después de ser llamados así por el Salvador, trajeron para ellos mismos todas las nubes engendradoras de lluvia: después de que rompe un trueno, es inevitable que las nubes se junten. Del mismo modo, hay que entender a las nubes como las palabras apostólicas y proféticas, en las cuales, aunque los tiempos de la predicación difieran, los mandamientos de la verdadera religión están, sin embargo, en armonía, pues los carismas surgen del mismo único Espíritu.

Pero, ¿por qué atreverse a explicar a aquellos que son incapaces e intentar hacerles recordar de manera digna la virtud apostólica? La gloria de los elogios no le corresponde a Simón por el hecho de ser conocido por la pesca, sino más bien por su fe inquebrantable y por su condición de ser el fundamento de toda la Iglesia. Ni tampoco demoraremos más el discurso hablando de los hijos de Zebedeo, sino más bien de los *Boanerges*, es decir, de los denominados hijos del trueno. ¿Qué parecerá ahora la voz debilísima de mi discurso, cuando retumba en los oídos de todos nosotros un estruendo tal y tan fragoroso? Refugiémonos, pues, sin dudarlo en el seguro silencio, tras habernos apresurado a cumplir con la gratitud respecto a los santos. Siendo plenamente conscientes de ello, ya que somos dignos de participar en las celebraciones de los santos, y especialmente en lo que se refiere a imitar y a emular sus virtudes; y no destacando su vida en el encomio, sino conservando, además, su ejemplo de vida en la mente. Así, demostrarán que somos sus dignos discípulos, no la costumbre y la irracionalidad, sino la piedad y la reverencia religiosa juntamente con una vida de igual nivel y el mismo afán de gloria.

(105, 21) ¿Honrarás la memoria de los mártires? Honra también su pensamiento. Pues el acuerdo con el pensamiento es la comunión de la memoria. ¿Acaso los ha iluminado únicamente a ellos la ley del conocimiento de la gloria del Evangelio de Cristo? ¿Acaso solo a ellos ha sido enviada la gracia? Los mandamientos son comunes, el modo de vida es común; es único el organizador de los juegos de los sufrimientos y es único el premio de la verdad, del cual seamos todos dignos, a través de las oraciones y de las intercesiones de los santos aquí celebrados, y con la gracia de nuestro Señor Jesucristo, a quien le corresponde la gloria y el poder por los siglos de los siglos. Amén.

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ ΕΤΕΡΟΝ ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΣΤΕΦΑΝΟΝ ΤΟΝ ΠΡΩΤΟΜΑΡΤΥΡΑ

'Επεδήμησε Χριστὸς τῷ κόσμῳ εἰς σωτηρίαν καὶ μετ' αὐτὸν ἐβλάστησαν οἱ καρποὶ τῆς ἐκκλησίας. ἔλαμφεν ὁ μάρτυς τῆς ἀληθείας καὶ συνέλαμψαν οἱ μάρτυρες τῆς μεγάλης οἰκονομίας. ἠκολούθησαν οἱ μαθηταὶ τῷ διδασκάλῳ τοῖς κυριακοῖς ἴχνεσιν ὁδεύοντες· μετὰ Χριστὸν οἱ χριστοφόροι· μετὰ τὸν ἥλιον τῆς δικαιοσύνης οἱ φωστῆρες τῆς οἰκουμένης. καὶ πρῶτος μὲν ἡμῖν ὁ Στέφανος ἤνθησεν, οὐκ ἐκ τῶν 'Ιουδαϊκῶν ἀκανθῶν πλακείς, ἀλλ' ἐκ τῆς ἐκκλησιαστικῆς εὐθηνίας πρῶτος καρπὸς τῷ κυρίῳ προσενεχθείς. 'Ιουδαῖοι μὲν γὰρ στέφανον ἐξ ἀκανθῶν πλέξαντες τῇ κεφαλῇ τοῦ σωτῆρος ἐπέθηκαν, ἀξίους τῆς κακῆς γεωργίας αὐτῶν τοὺς καρποὺς ἐπιδειξάμενοι τῷ δεσπότῃ τοῦ ἀμπελῶνος, ὡς διὰ τῆς προφητείας προανεφώνει λέγων· 'Αμπελὼν κυρίου Σαβαὼθ οἶκος τοῦ 'Ισραήλ ἐστι καὶ ὁ ἄνθρωπος 'Ιούδα νεόφυτον ἠγαπημένον. ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. οἱ δὲ τῆς εὐαγγελικῆς ἀληθείας ἐργάται πρῶτον προοίμιον εὐσεβείας καὶ πρώτην ἀπαρχὴν τῆς γεωργίας Στέφανον τὸν ἅγιον ἄνδρα προσφέρουσι τῷ δεσπότῃ, οἷα δή τινα στέφανον ἀληθῶς ἐκ πολλῶν καὶ διαφόρων ἀρετῶν συνηρμοσμένον. πρῶτον μὲν γὰρ ὁ θαυμάσιος οὗτος ἀνὴρ τὴν τῶν χηρῶν ἐπιμέλειαν ἐπιστεύετο μαρτυρηθεὶς κρίσει καὶ ἐκλογῇ τῶν ἀποστόλων ἀνὴρ

721 M. 724 M.

8 cf Mal 3,20; Gen 1,14sqq 9sq cf Matth 27,29 parall 11 Matth 27,29 12sq cf Matth 21,33sqq 14-16 Is 5,7 et 5,2 21-98,1 Act 6,5

Titulus 'Ιωάννου ἐπισκόπου Κωνσταντινουπόλεως εἰς τὸν ἅγιον Στέφανον ἐνκώμιον Ψ τοῦ αὐτοῦ Γρηγορίου ἐπισκόπου Νύσης ἕτερον ἐγκώμιον εἰς τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυρα E^{I}v (Γρηγορίου-Νύσης om v) τοῦ αὐτοῦ εἰς τὸν ἅγιον πρωτομάρτυρα Στέφανον E^{II}

ΨE^{I}E^{II} 4 εἰς σωτηρίαν coll post Χριστὸς Ψ 5 ἐκκλησίας: εὐσεβείας Ψ ἐπέλαμφεν Ψ 7 ὁδεύοντες: οἱ δοῦλοι τοῦ Χριστοῦ Ψ 9 μὲν om Ψ ὁ om Ψ 10 ἐπιπλακεῖς Ψ 12-13 αὐτῶν γεωργίας Ψ 13 ὃς E^{II} 13-14 ὡς — προανεφώνει: περὶ ὧν καὶ 'Ησαίας προανεφώνησεν Ψ 15 ὁ om Ψ ἔμεινε E^{II} 16 σταφυλήν: κρίσιν Ψ ἀκάνθας: ἀνομίαν Ψ 18 προσφέρουσι τῷ δεσπότῃ coll post γεωργίας Ψ 20 ἀνὴρ om Ψ ἐπιμέλειαν: οἰκονομίαν Ψ 21 πιστεύεται Ψ κρίσει καὶ ἐκλογῇ: ἐν λόγῳ καὶ κρίσει ὑπὸ Ψ

εἶναι πιστὸς καὶ πλήρης πνεύματος ἁγίου, ἔπειτα δυνάμει πνευματικῆς σοφίας. καὶ γὰρ τῷ θείῳ λόγῳ τοσαύτην ὑπὲρ τοῦ κηρύγματος συνηγορίαν ἐπεδείκνυτο, ὡς καὶ μεγάλα τὰ θαύματα τῆς θείας ἐνεργείας συντρέχειν αὐτοῦ ταῖς διδασκαλίαις. Στέφανος γάρ, φησί, πλήρης πίστεως καὶ δυνάμεως ἐποίει σημεῖα μεγάλα. οὐ γὰρ ἐδικαίωσεν ἐμπόδιον αὐτῷ τι γενέσθαι τὴν περὶ τὰς χήρας σπουδήν, ἀλλὰ καὶ ταύτης εἴχετο προθύμως κἀκείνης οὐκ ἀπελιμπάνετο· καὶ ἦν ἐπ' αὐτῷ μέγα τὸ θαῦμα καὶ φιλοπόνου διανοίας πλεονέκτημα. χήρας ἐπιστεύετο καὶ ψυχὰς ἐνεπορεύετο, τὰς μὲν ἄρτῳ τρέφων, τὰς δὲ λόγῳ παιδεύων, καὶ ταῖς μὲν σωματικὴν τράπεζαν προτιθείς, ταῖς δὲ πνευματικὴν ἑστίαν προβαλλόμενος. ἦν γὰρ ἀνὴρ ἀγαθὸς καὶ πλήρης πνεύματος ἁγίου. ἀγαθότητι μὲν τῆς γνώμης τῶν πενήτων τὴν λειτουργίαν ὑφιστάμενος, παρρησίᾳ δὲ καὶ δυνάμει τοῦ πνεύματος τοὺς ἐχθροὺς τῆς ἀληθείας ἐπιστομίζων. πᾶσι γοῦν ἀντέκρουε, καὶ πάντας τῷ λόγῳ τῆς ἀληθείας κατηγωνίζετο, Λογισμοὺς καθαιρῶν καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ. τοσαύτη δὲ αὐτῷ ἰσχὺς τοῦ λόγου παρῆν, ὡς κατὰ τὴν μαρτυρίαν τῆς ἁγίας γραφῆς μηδένα δύνασθαι Ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι, ᾧ ἐλάλει. ἀλλ' ἐπὶ τὸ συνέδριον ἤγετο τῆς ἀπιστίας ὁ κῆρυξ τῆς ἀληθείας· δεῖ γὰρ ἡμᾶς οὕτω παραδραμόντας τῷ πρωτομάρτυρι τὴν ὀφειλομένην ἀποδοῦναι, ἣν χθὲς ἀποπληρῶσαι τὸ ἀσθενὲς τοῦ σώματος οὐκ ἐπέτρεψε, καὶ σήμερον τοῖς ἁγίοις ἀποστόλοις τὴν οἰκείαν μνήμην ἀποπληρῶσαι. πρῶτον μὲν γὰρ οὐχ ἡμέραις οὐδὲ χρόνοις τὰ τῶν ἁγίων ἐγκώμια περιορίζεται· Εἰς μνημόσυνον γάρ, φησίν, αἰώνιον ἔσται δίκαιος· ἔπειτα δέ, οἷς οὐ διαιρεῖται τὰ τῆς γνώμης. οὔτε τοίνυν μάρτυρες ἄνευ ἀποστόλων οὔτε πάλιν ἀπόστολοι χωρὶς ἐκείνων. διδάσκαλοι μὲν γὰρ μαρτύρων ἀπόστολοι· εἰκόνες δὲ τῶν ἀποστόλων οἱ

---

1 Act 6,8 4-5 Act 6,8sq 11 Act 6,5 15-16 II Cor 10,5 17-18 Act 6,10 23-24 Ps 111,6

ΨE^{I}E^{II} 1 εἶναι om Ψ post ἔπειτα add δὲ Ψ δύναμιν Ψ 2 τῷ: καὶ Ψ 3 καὶ om Ψ τὰ: καὶ Ψ 4 post ταῖς add θείαις Ψ φησί om Ψ 5 post μεγάλα add καὶ τέρατα Ψ 6 τι om Ψ post γενέσθαι add τῆς περὶ τὸν λόγον ἀρετῆς Ψ τῇ ... σπουδῇ E^{I}v 7 ἀπελείπετο Ψ 8 φιλοπόνου: φιλόπονον· οὐ Ψ post χήρας add γὰρ Ψ 10 ἑστίασιν Ψ 11 post γὰρ add φησιν Ψ ἀνὴρ om Ψ 12 τῇ γνώμῃ Ψ ὑφιστάμενος: πιστευσάμενος Ψ 13 δὲ: τε Ψ 14 ἀληθείας: εὐσεβείας Ψ 16 αὐτῷ om Ψ τῷ λόγῳ Ψ ante παρῆν add αὐτοῦ Ψ 17 μηδένα: μὴ Ψ 18 τὸ τὸ errore scribae E^{I} ἤγετο: εἵλκετο Ψ 20 ὀφιλην Ψ 20-22 ἣν — ἀποπληρῶσαι om Ψ 22 οὔτε Ψ 22-23 περιορίζεται τὰ τῶν ἁγίων ἐνκώμια εἰς μνήμην Ψ 23-24 εἰς μνημόσυνον — δίκαιος om Ψ 24 διήρηται Ψ post γνώμης add τούτοις οὐ διώρισται τὰ τῆς μνήμης Ψ 25 ἐκείνων: μαρτύρων (ων del est) Ψ

μάρτυρες. εἰκόνα γοῦν τὴν ἐκείνων καὶ τὸν χαρακτῆρα φέρων ὁ μακάριος Στέφανος σταυρόν, καὶ διὰ τοῦ θανάτου πρῶτος τοῦ μαρτυρίου τὸν στέφανον ἀνεδήσατο. ἀλλ' ὅμως διὰ τῆς ὑπομονῆς τοῦ μαρτυρίου τοὺς διδασκάλους ἀπεσέμνυνε καὶ γέγονεν ἀληθῶς στέφανος· στέφανος γὰρ τῶν καλῶν διδασκάλων οὐκ ἦν τιμὴ τῆς εὐφημίας, ἀλλ' ἦν προκοπὴ τῆς ἐκκλησίας, ὥσπερ γοῦν ὁ θεῖος ἀπόστολός φησιν· 'Αγαπητοί μου, χαρὰ καὶ στέφανος, οὕτω στήκετε. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν.

Εἰσῆλθεν εἰς τὸ συνέδριον τῶν Χριστοφόνων ὁ Χριστοφόρος· εἰσεπήδησεν εἰς τὴν συναγωγὴν τῶν λύκων τὸ πρόβατον· ἀλλ' ἦν οὐχ ὡς 725 M. ἁπλῶς πρόβατον θηριάλωτον, ἀλλὰ πρόβατον ὑπὸ Χριστοῦ ποιμαινόμενον καὶ πρὸς τοὺς λύκους ἀγωνιζόμενον. οἱ μὲν γὰρ ἐλύσσων καὶ διεπρίοντο ταῖς κατηγορίαις καὶ ταῖς ἀπειλαῖς τὸ ποίμνιον καταδάκνοντες· ὁ δὲ μᾶλλον αὐτοὺς τοῖς ἐλέγχοις διεσπάραττεν ἢ ταῖς ἀπειλαῖς καὶ ταῖς κατηγορίαις, ὡς ἐκεῖνοι. μὴ ψιλῶς μηδ' ἐπιπολαίως παραδράμωμεν τὰ λεγόμενα. οὗτος γὰρ πρὸς τοσαύτην συναγωγὴν πονηρευομένων καὶ πρὸς τοσαύτην λύκων ἔφοδον ἀδικίας ἐθάρσησε παρρησιάσασθαι καὶ εἰπεῖν μετὰ τὴν πολλὴν ἐκείνην διδασκαλίαν· Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε καθὼς οἱ πατέρες ὑμῶν, καὶ τὰ ἑξῆς. οὕτως ὁ ἐπὶ μὲν γῆς φαινόμενος, τὰ δὲ ἐν οὐρανῷ κατοπτριζόμενος, καὶ ἀνθρώπου μὲν φύσιν ἐνδεδυμένος, ἀγγέλου δὲ ὄψιν καὶ σχῆμα μεταμορφωσάμενος (καὶ τούτων οὐδὲν ἀπεικός· ἔπρεπε γὰρ ἀληθῶς ἐν τῷ πρωτομάρτυρι

6-8 Phil 4,1 18-20 Act 7,51 22 cf Act 6,15

ΨE^{I}E^{II} 1 τὴν om Ψ 2 σταυρόν: εἰ Ψ 4 post διδασκάλους add τῆς ὑπομονῆς Ψ στέφανος· στέφανος: ὁ στέφανος ἀποστόλων στέφανος· στέφανος Ψ 5 οὐκ — ἀλλ' ἦν om Ψ ante προκοπὴ add ἡ Ψ 6 γοῦν: οὖν καὶ Ψ post γοῦν add Κορινθίοις γράφων E^{I}E^{II} (ut vid ex coniectura archetypi, cf II Cor 1,14) Φιλιππησίοις γράφων Ψ (ad corrigendam falsam archetypi lectionem, cf Phil 4,1; sed ego Gregorium hic locum sententiae apostoli non laudavisse puto) θεῖος: μέγας E^{II} post φησιν add γὰρ Ψ ἀγαπητοί μου: ἀγαπητοί μου καὶ ἐπιπόθητοι Ψ ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι v 7 post στέφανος add μου Ψ post στήκετε add ἐν κυρίῳ Ψ 10 ὡς om Ψ 12 ἐλύσων sscr σ Ψ 13 διεπρίοντο corr ex διεπρίωντο E^{I} ταῖς κατηγορίαις om Ψ κατέδακνον Ψ 14 ἢ: εἰ E^{I}E^{II} καὶ Ψ 15 ὡς: ἀλλὰ Ψ om E^{II} ἐκεῖνοι: παρακαλῶ Ψ μηδ' ἐπιπολαίως om Ψ 17 ἔφοδον: ἐπιφορὰν Ψ ante ἀδικίας add κατὰ τῆς E^{I}v ἐθάρρησεν Ψ 19 τῷ πνεύματι τῷ ἁγίῳ coll post 20 ἀντιπίπτετε Ψ 20 καθὼς: ὡς Ψ καὶ τὰ ἑξῆς: καὶ ὑμεῖς οὕτως Ψ οὗτος E^{II} οὕτως ὁ ἐπὶ μὲν: ὁ δὲ ἐπὶ Ψ 21 κατοπριζόμενος Ψ μὲν om Ψ 22 ante ἀγγέλου add εἰς Ψ μεταβαλλόμενος Ψ 23 τοῦτο

δειχθῆναι τῶν μαρτύρων τὸ ἀξίωμα, καὶ γνῶναι λοιπὸν ἅπαντας τῆς καινῆς χάριτος τὰ ἔργα)· ὁ τοῦ μαρτυρίου πόθος οὐ μόνον ἀγγελικὴν ἀξίαν χαρίζεται, ἀλλὰ καὶ οὐρανῶν ἀνοίγει πύλας· οὐκέτι θανάτῳ τὰς ψυχὰς παραπέμπων, ἀλλ' εἰς χεῖρας Χριστοῦ τὸ πνεῦμα παρατιθέμενος. ὁ μὲν γὰρ κυριακὸς ἄνθρωπος τοῦ σωτῆρος τῷ ἑαυτοῦ πατρὶ ἐν τῷ σταυρῷ προσεφώνει λέγων· Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου· ὁ δὲ τοῦ Χριστοῦ δοῦλος Στέφανος ἀνατείνας εἰς τὸν δεσπότην, Κύριε, φησίν, Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου· ταύτῃ τῇ φωνῇ τὴν ψυχὴν συναποθέμενος. ἄγγελοι τὸν ἑαυτῶν χορευτὴν ἀπελάμβανον, μᾶλλον αὐτὸν ἄνωθεν βάλλοντες ταῖς εὐφημίαις, ἢ ἐν τοῖς λίθοις κάτωθεν Ἰουδαῖοι. ἀλλ' ὁ μὲν Στέφανος οὕτω τὸν καλὸν ἀγωνισάμενος ἀγῶνα τὸν ἐν οὐρανοῖς κλῆρον ἐδέξατο. τῷ Στεφάνῳ δὲ τούτῳ πάντες ἐξαίφνης οἱ τίμιοι λίθοι συνεπλάκησαν, οἱ θειότατοι τῶν εὐαγγελίων κήρυκες, μεθ' οὓς οἱ μάρτυρες, καὶ μετ' αὐτοὺς πάλιν οἱ σωτηρίῳ ἀρετῇ διαλάμψαντες· προηγουμένως δὲ οἱ ἐπὶ τοῦ παρόντος μνημονευόμενοι πολὺ καὶ λαμπρὸν ἀπαστράπτοντες τὸ κάλλος τῆς εὐσεβείας, λέγω δὴ Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, οἱ καὶ τῆς ἀποστολικῆς ἁρμονίας ἔξαρχοι καὶ τῆς ἐκκλησιαστικῆς εὐδοξίας στέφανοι. οὐκ ἀφίσταμαι γὰρ τῆς τοῦ Στεφάνου προσηγορίας· ἀλλὰ πολλάκις καὶ μυριάκις λέγων ἔτι διῳῶν ἐπαναλαμβάνω. Στεφάνου γὰρ κόρος οὐκ ἔστι τοῖς τὸ μακάριον τέλος τῶν στεφάνων ἐκδεχομένοις. οὐκοῦν, εἰ δεῖ φιλαλήθως εἰπεῖν, ἀπὸ Στεφάνου πάλιν στεφάνοις εὐωχοῦμεν καὶ κοινωνοῦμεν αὐτῶν ταῖς μνήμαις, ἐπειδήπερ ἐλπίζομεν κοινωνεῖν καὶ

6-7 Luc 23,46 8 Act 7,59 11-12 cf II Tim 4,7 13 cf I Cor 3,12

ΨE^{I}E^{II} 2 χάριτος τὰ ἔργα: διαθήκης τὴν χάριν Ψ ὁ: ω Ψ πόθος· Ψ 3 οὐκέτι: οὐχ ὅτι Ψ 4 ante Χριστοῦ add τοῦ Ψ 5 ἑαυτῷ v 6 παραθήσομαι Ψ 7 ἀνατείνας: ἀτενίσας Ψ post τὸν add ἑαυτοῦ Ψ 8 Κύριε — δέξαι: φησὶ κύριε Ἰησοῦ δέξε Ψ post μου add ἄκουσον δὲ πῶς καὶ ὑπὲρ τῶν λιθαζόντων εὔχεται· λέγων· κύριε μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. ὢ πόση ἀμνησικακία, ὢ προαίρεσις ἀγαθή· ὢ πόση ἀγάπη καὶ συνπάθεια. ἐβούλετο γὰρ μὴ μόνον ἑαυτὸν εἰς βασίλειαν εἰσελθεῖν, ἀλλὰ καὶ ἐκείνους τοὺς φονέας· κύριε Ἰησοῦ δέξαι τὸ πνεῦμά μου Ψ 9 τὴν ψυχὴν om Ψ ἀποθέμενος v post συναποθέμενος add ἐν οὐρανοῖς Ψ συνχορευτὴν Ψ 10 αὐτοὶ Ψ ταῖς om Ψ ἐν om Ψ 12 Στεφάνῳ δὲ τούτῳ: δὲ τοιούτῳ Στεφάνῳ E^{II} 13 ἐξαίφνης: ἐφεξῆς Ψ οἱ pr om Ψ 15 σωτηρίῳ ἀρετῇ: ταῖς σωτηρίοις ἀρεταῖς Ψ post διαλάμψαντες add ἡμεῖς δὲ ἀγαπητοὶ ταῖς μνείαις τῶν ἁγίων κοινωνοῦντες δόξαν ἀίδιον ἀναπέμψωμεν τῷ θεῷ τῷ οὕτως πάντα καλῶς οἰκονομήσαντι· εὐχαῖς τοίνυν πάντων τῶν ἁγίων καὶ εὐχαῖς τοῦ ἁγίου Στεφάνου πάντας ὑμᾶς ὁ θεὸς διασώσῃ καὶ διαφυλάξῃ· δώσῃ ὑμῖν κλῆρον μετὰ τῶν ἁγίων, ὅτι αὐτοῦ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. Ψ (his verbis explicit) 22 εἰ δεῖ: ἤδη E^{II} 23 μνείαις E^{II}

μένειν, καὶ συνδοξάσομεν· βεβαιούσης γὰρ τῆς ἐπαγγελίας ἡ κοινωνία τῆς πίστεως πολυπλασιάζεται. 728 M.

Πάλιν δὲ ἡμῖν, ἀδελφοί, τῶν ἀγαθῶν ἡ ἀπόλαυσις, τῷ τὴν κυριακὴν τῆς ἀναστάσεως ἡμέραν συλλάμψαι τῇ μνήμῃ τῶν μαρτύρων. ἐν ταύτῃ γὰρ προηγουμένως ἡμῶν τὰς διανοίας κατηύγασεν ὁ φωτισμὸς τῆς δόξης τοῦ εὐαγγελίου τοῦ Χριστοῦ, ἐν ᾗ τὰς σωτηρίους ἀκτῖνας τῆς δικαιοσύνης ἀνθήσας τὸ μὲν σκότος τῆς ἀσεβείας ἠφάνισε, τὰς δὲ ψυχὰς τῇ ἐπιγνώσει τῆς ἀληθείας ἐλάμπρυνε. καὶ ὅρα μοι τὸ θαυμαστὸν τῆς εὐεργεσίας καὶ μέγιστον. ὁ μὲν γὰρ αἰσθητὸς οὗτος ἥλιος ἀνίσχων ἔωθεν καὶ ταῖς προδρόμοις τῶν ἀκτίνων αὐγαῖς τὴν ἡμέραν προοιμιαζόμενος καλύπτει μὲν καὶ περιβάλλει ταῖς μαρμαρυγαῖς τὴν ὑπ' οὐρανόν, ἀποκρύπτει δὲ καὶ ἀμαυροῖ πάντας ὁμοῦ τοὺς τῶν ἀστέρων χορούς, ὡς μόνον αὐτὸν ὁρᾶσθαι περιπολοῦντα ταῖς οὐρανίαις ἀφῖσιν. ὁ δέ γε κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀνατείλας ἡμῖν ἐξ ὕψους κατὰ τὴν λέγουσαν περὶ αὐτοῦ προφητείαν· Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους· οὐ μόνον οὐκ ἀπέκρυψε τοὺς πρὸ τῆς ἐπιδημίας αὐτοῦ δίκην ἀστέρων ἀναλάμψαντας ἁγίους καὶ προδρόμους αὐτοῦ γενομένους, ἀλλὰ κἀκείνους λαμπροτέρους ἐποίησε καὶ ἑτέρους ἑαυτῷ φωστῆρας συνανέλαμψε. προφῆται μὲν γὰρ διέλαμψαν μετὰ τὴν ἐκείνου παρουσίαν μᾶλλον ἢ πρὸ ἐκείνης. ἀμυδρᾶς γὰρ οὔσης ἔτι τῆς προφητείας ταῖς εὐαγγελικαῖς τῶν γραμματέων ἐκθέσεσιν ὁ σωτὴρ ἐλθὼν εἰς τὸν κόσμον πάντας ἐλάμπρυνε καὶ διεσάφησε, πλήρωμα νόμου καὶ προφητῶν γενόμενος. Οὐ γὰρ ἦλθε καταλῦσαι τὸν νόμον καὶ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι. ἐπὶ δὲ τῆς νέας χάριτος περὶ ἑαυτοῦ λέγων ὁ σωτήρ· Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου τούτου· οὐκ ἀπηξίωσεν ἡ πηγὴ τῆς ἀγαθότητος ὁ ἐξ ἀγαθοῦ πατρὸς προελθών, τοῖς αὐτῷ δουλεύουσι μεταδοῦναι τῆς ἑαυτοῦ προσηγορίας· ἀλλά φησι πρὸς τοὺς ἑαυτοῦ μαθητάς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· καί· Λαμφάτω τὰ ἔργα ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων. ὃ δὲ μεῖζον παραγαγεῖν ἔχομεν εἰς ὑπόμνησιν τῶν εἰρημένων, τοῦτο χάριτι κυρίου πάλιν ἐκθησόμεθα· Ἰωάννης 729 M.

15-16 Luc 1,78 22sq cf Rom 13,10 23-24 Matth 5,17 25 Joh 8,12 28 Matth 5,14 28-29 cf Matth 5,16

E^{I}E^{II} 1 συνδοξάζεσθαι E^{II} 4 συνλάμψαι E^{II} 5 κατηύγασεν: κατήρπασεν E^{II} 13 αὐτῷ E^{II} περιπολοῦντι E^{II} ἀφίσιν E^{I}v 15 ἡμᾶς in marg add E^{II} 19 τὴν τὴν errore scribae E^{I} 20 ἢ: δὲ E^{I}E^{II} δὲ ἢ v 21 ἐκθέσεσιν coni F. Mann, ἐκβάσεσιν E^{I}E^{II} 24 αὐτοῦ E^{II} 26 ὁ om E^{I}v ἑαυτῷ E^{II} 27 τῆς αὐτοῦ μεταδοῦναι προσηγορίας E^{II} 30 θεοῦ v

ὁ βαπτιστὴς λύχνος ὀνομασθεὶς καὶ ἐν τοῖς Ψαλμοῖς προαναπεφωνημένος καὶ ὑπὸ τοῦ κυρίου μεμαρτυρημένος. ὁ μὲν γὰρ προφήτης ἐκ προσώπου τοῦ πατρὸς φησὶ περὶ αὐτοῦ διὰ τῆς ὑμνῳδίας· Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου· τουτέστιν, ὑπηρέτην καὶ πρόδρομον ἡτοίμασα τοῦ φωτός· ὁ δὲ κύριος τὴν πατρικὴν βεβαιῶν φωνήν· Ἐκεῖνος ἦν, φησίν, ὁ λύχνος ὁ καιόμενος. ἀλλ' ὅμως ὁ λύχνος ὢν τοσοῦτον ἀπέσχε τοῦ ἀμαυρωθῆναι τῇ τοῦ κυρίου παρουσίᾳ, ὃς ἦν ἥλιος δικαιοσύνης, ὥστε καὶ μᾶλλον διέλαμψε κῆρυξ ὁμοῦ καὶ θεολόγος αὐτοῦ τοῦ σωτῆρος ὁ βαπτιστὴς γενόμενος. Ἰωάννης μὲν οὖν διὰ τὸ ἕνα μόνον φωτίζειν οἶκον τὸν τοῦ Ἰσραὴλ λύχνος ὠνομάσθη. οἱ δὲ τοῦ σωτῆρος ἀπόστολοι οὐ λύχνοι οὐδὲ λαμπάδες οὐδὲ ἀστέρες, ἀλλὰ φωστῆρες ἀνηγορεύθησαν, οὐκ ἐν ἑνὶ κλίματι οὐδὲ μιᾷ γωνίᾳ λάμποντες, ἀλλ' ἅπασαν τὴν ὑπὸ οὐρανὸν καταυγάζοντες. ἔξαρχοι δὲ τούτων καὶ κορυφαῖοι ὁ Πέτρος καὶ ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης, οἱ σήμερον ταῖς ὑπὲρ Χριστοῦ μαρτυρίαις σεμνυνόμενοι, συμφώνως μὲν πρὸς τὸ τέλος τοῦ βίου δραμόντες, διαφόροις δὲ τοῦ μαρτυρίου τρόποις ἐναθλήσαντες. ὁ μὲν γὰρ πρωτοστάτης καὶ κορυφαῖος τῆς ἀποστολικῆς χορείας ἀναδειχθεὶς οἰκείαν τῷ ἀξιώματι τὴν δόξαν ἀπηνέγκατο τῇ τοῦ σωτῆρος ὁμοιοπαθείᾳ τετιμημένος· ὁ σταυρῷ γὰρ προσηλωθεὶς τὴν δεσποτικὴν εἰκόνα τοῦ βασιλέως ἐξετύπωσεν (εἰκόνα δὲ λέγω βασιλικὴν τὸν σταυρόν) οὐκ αἰσχυνόμενος ἐπὶ τῷ πάθει, ἀλλὰ σεμνυνόμενος ἐπὶ τῷ μεγάλῳ τροπαίῳ. μήτε γὰρ αὐτῷ μήτε ἡμῖν μήτε τοῖς μεθ' ἡμᾶς μήτε τινὶ ἑτέρῳ ... τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καθὼς καὶ ὁ Παῦλός φησιν. οὕτω γὰρ καὶ Πέτρος φαίνεται διὰ τιμῆς ἔχων τὴν σεβάσμιον ... ἠξίου γὰρ κατὰ κεφαλῆς κρεμασθῆναι ὑπὸ τῶν σταυρούντων διὰ πολλὴν εὐλάβειαν, ἵνα μὴ ἴσος εἶναι τῷ σωτῆρι δόξῃ τῷ ὑπὲρ πάσης τῆς ἀνθρωπότητος σταυρωθέντι καὶ πλατείαις, ὥσπερ ταῖς διὰ τοῦ σταυροῦ, χερσὶ τὴν οἰκουμένην περιβαλόντι. Ἰάκωβος δὲ τὴν κεφαλὴν ἀπετέμνετο,

---

3-4 Ps 131,17 5-6 Joh 5,35 7 cf Mal 3,20 9-10 cf Matth 5,15 11 Phil 2,15 23 Rom 5,11? 23sqq cf Martyrium beati Petri XVII 28 Act 12,2

$E^{I}E^{II}$ 1 ὁ om v 2 τοῦ om v 3 ἡτοίμασας E^{II} 10 λύχνος om $E^{I}E^{II}$ add v 11 οὐ: οὐδὲ E^{II} λύχνοι v λύχνος $E^{I}E^{II}$ οὐδὲ λαμπάδες om v 14 καὶ post Πέτρος et καὶ post Ἰάκωβος om E^{II} 16 μὲν om E^{II} 17 ἀναδειχθεὶς om E^{II} 22 αὐτοῖς $E^{I}E^{II}$v post ἑτέρῳ mihi excidisse vid γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ (= Gal 6,14) sc. una linea exemplaris 23 post φησιν lac (13 litt) in E^{I} scilicet quod scriba verba Pauli deesse putavit 24 post σεβάσμιον lac in E^{I} "quae fortasse impleri posset his verbis, τὴν σεβάσμιον ἐκείνην σταύρωσιν" v

τὴν ὄντως αὐτοῦ κεφαλήν, τὸν Χριστόν, ἀπολαβεῖν ἐπειγόμενος. κεφαλὴ γὰρ ἀνδρὸς ὁ Χριστὸς κατὰ τὸν ἀπόστολον καὶ πάσης ὁμοῦ κεφαλὴ τῆς ἐκκλησίας. ὁ δὲ μακάριος Ἰωάννης ἐν πολλοῖς καὶ διαφόροις κατὰ τὸν βίον ἀθλήσας ἀγῶσι, καὶ ἐν πᾶσι διαπρέψας τοῖς κατορθώμασι τῆς εὐσεβείας, † κενὸν μὲν εἰς ὕδωρ τοῦτο πέρας † ... 732 M.
κεκριμένος τῷ χορῷ τῶν μαρτύρων συνηρίθμηται· παρὰ γὰρ δικάζουσιν οὐκ ἀπὸ τῆς ἐκβάσεως τοῦ πάθους, ἀλλὰ παρ' αἱρέσεως τοῦ πόθου κρίνεται τὸ μαρτύριον. ἀλλ' ὁ μὲν τοῦ θανάτου τρόπος τοιοῦτος ἦν τοῖς διὰ θανάτου τὴν ἀθάνατον μνήμην καὶ ταῖς ἐκκλησίαις χαρισαμένοις. ἔπρεπε δὲ ὡς ἀληθῶς ἐπὶ τὸ αὐτὸ τῶν προειρημένων ἀνδρῶν τὰς μνήμας ἐπιτελεῖσθαι, οὐ μόνον διὰ τὸ σύμφωνον τῆς εὐσεβείας, ἀλλὰ καὶ διὰ τὸ ὁμότιμον τῆς ἀξίας. οὗτοι γὰρ μόνοι ⟨οἱ⟩ τῷ κυρίῳ πάντοτε συσχολάζοντες καὶ ἐξαίρετον ὥσπερ παρὰ τοὺς λοιποὺς τῶν ἀποστόλων χώραν ἔχοντες καὶ παρρησίαν οὐ κατὰ τὴν τῆς ἀνθρωπίνης φιλίας πρόσληψιν, ἀλλὰ κατὰ θεϊκὴν ἀληθείας ἐπίκρισιν.

Ἔστι γοῦν εὑρεῖν ἐν τοῖς μεγίστοις τῶν θαυμάτων μόνους αὐτοὺς παρὰ τοῦ κυρίου παραληφθέντας ὡς πιστοτάτους καὶ ἀληθεστάτους τῶν γιγνομένων μάρτυρας· τοῦτο μὲν τῆς ἐν τῷ ὄρει θεωρίας· μόνος γὰρ ἦν ἐκεῖ Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, ὅτε τὸ σῶμα τὸ ἑαυτοῦ μεταμορφώσας ὁ κύριος εἰς ἔνδοξον καὶ λαμπροτέραν θεότητα μετέβαλε, Μωϋσέα καὶ Ἠλίαν ἐν ἑαυτῷ παραστησάμενος, καὶ τῇ νεφέλῃ τοῦ φωτὸς ἐπισκιάσας τὴν μεγάλην ἐκείνην εἰκόνα τῆς βασιλείας ὑπέδειξε· τοῦτο δὲ ἐπὶ τῆς Ἰαείρου θυγατρός, ἣν θανοῦσαν διήγειρε· καὶ γὰρ ἐκεῖ τούτους εἶχεν ἐπόπτας τῆς γενομένης θαυματουργίας. ἔτι γε μήν, ἵνα μὴ τὰ καθ' ἕκαστον λέγων διατρίβω, καὶ κατ' αὐτὸν τὸν καιρὸν τοῦ σωτηρίου πάθους τοὺς αὐτοὺς ἄνδρας παραλαβὼν ἐθάρρησεν εἰπεῖν ὡς πιστοῖς ἀνδράσι καὶ βεβαιοτάτοις· Νῦν ἡ ψυχή μου τετάρακται. ταῦτα δὲ ἡμῖν εἴρηται οὐκ εἰς καθαίρεσιν τῶν λοιπῶν ἀποστόλων, ἀλλ' εἰς μαρτύριον τῆς τῶν μνημονευομένων ἀρετῆς· εἰ δὲ δεῖ

2 cf I Cor 11,3; Eph 5,23 18 cf Matth 17,1sq 23 cf Marc 5,37 26 cf Matth 26,37 27-28 Joh 12,27

E^{I}E^{II} 1 αὐτοῦ v αὐτοῦ E^{I}E^{II} 3 πολλαῖς v 5 κενὸν — πέρας locus obscurus post πέρας lac (10 litt) in E^{I} 6 κεκριμένος E^{II} 6-8 παρὰ γὰρ — τὸ μαρτύριον om E^{II} 7 τῆς v τίσει E^{I} 12 οἱ post μόνοι add F. Mann 13 συνσχολάζοντες E^{II} 14 τὴν om E^{II} 18 post μὲν add ἐπὶ v 21 Μωϋσέα v Μωσέα E^{I}E^{II} αὐτῷ E^{II} τὴν νεφέλην E^{II} 24 γε om E^{II} 25 τὰ om E^{II} 26 αὐτοῦ E^{II} 29 τῆς: μὲν E^{II}

φιλαλήθως εἰπεῖν, καὶ εἰς κοινὸν τῶν ἀποστόλων ἐγκώμιον· τὸ γὰρ ὑπεροχὰς καὶ ἐπιβάσεις ἐν τοῖς ἁγίοις ὁρίζεσθαι οὐκ ἀνθρωπίνης ἂν ᾖ δοκιμασίας, ἀλλ' ἐπικρίσεως καὶ ἀληθείας θεοῦ. ἡμᾶς δὲ μνήμαις τοιούτων καὶ τηλικούτων ἀνδρῶν κοινωνεῖν ἀξιωθέντας εὐχαριστεῖν ἀναγκαῖον, οὐχ ὅσον ὀφείλομεν (τοῦτο γὰρ ἀδύνατον), ἀλλ' ὅσον ἰσχύομεν (τοῦτο γὰρ εὐαπόδεκτον). ἀπαιτοῦσι δὲ ταύτας οἱ ἅγιοι παρ' ἡμῶν τὰς τιμάς, οὐχ ἵνα τι κερδάνωσιν εὐφημούμενοι, ἀλλ' ἵνα ἡμεῖς κοινωνήσωμεν εὐεργετούμενοι. ἐκεῖνο δὲ πάλιν οὐδένα τῶν εὐσεβῶν
733 M. ἀγνοεῖν οἶομαι, ὡς οὐ μόνου Πέτρου καὶ Ἰακώβου καὶ Ἰωάννου, ἀλλὰ καὶ πάσης ὁμοῦ τῆς ἀποστολικῆς ἁρμονίας τὰς μνείας ἐπιτελοῦμεν. εἰ γὰρ κατὰ τὴν τῶν δογμάτων ἀλήθειαν μελῶν τάξιν ἐπέχοντες ἑνὸς σώματος ἀποπληροῦσι σχῆμα, δηλονότι δοξαζομένου μέρους ἑνός, ὥς φησιν ὁ ἀπόστολος· Συνδοξάζεται πάντα τὰ μέλη· καὶ μάλιστα ἐπ' ἐκείνων τῶν μακαρίων καὶ τελειοτάτων ἀνδρῶν, οἷς πάντα συμφωνεῖ πρὸς ἀλήθειαν, καὶ ὁ τρόπος ὁμόγνωμος καὶ ἡ πίστις ὁμόδοξος καὶ ὡς κοινὰ τὰ τῆς εὐσεβείας πλεονεκτήματα τούτων, κοινὰ καὶ τὰ παρὰ τῆς ἀληθείας σεμνολογήματα. τίς δὲ οὐκ ἂν εὐλόγως ἡσθείη καὶ αὐτοῦ τοῦ ἁγίου πνεύματος πληρωθείη, ἀποστολικῷ χορῷ κοινωνεῖν ἠξιωμένος τῷ πᾶσαν τὴν οἰκουμένην πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας ὁδηγήσαντι, τῷ κατὰ πάσης τῆς οἰκουμένης ἁπλώσαντι τὰ τῆς εὐσεβείας δίκτυα καὶ πανταχοῦ πήξαντι τὰ τῆς ἀληθείας θήρατρα, ἵνα συλλαβόμενοι πᾶσαν ὁμοῦ τὴν ἀνθρωπότητα τὴν ὑπὸ τῆς κακίας ἠγριωμένην προσαγάγωσι τῷ ἐξημεροῦντι καὶ σῴζοντι; Εἰς πᾶσαν γοῦν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. οἱ θεμέλιοι τῆς ἐκκλησίας, οἱ Στῦλοι καὶ ἑδραιώματα τῆς ἀληθείας, οὗτοί εἰσιν αἱ ἀέναοι πηγαὶ τοῦ σωτηρίου, αἳ πολὺ καὶ πλούσιον καὶ θεοειδὲς νᾶμα τὸ τῆς διδασκαλίας προχέουσιν. ἐπὶ τούτους ἡμᾶς καὶ ἡ προφητικὴ παραπέμπει φωνὴ λέγουσα· Ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου.

Μνημονεύεται Πέτρος ἡ κεφαλὴ τῶν ἀποστόλων, καὶ συνδοξάζεται μὲν αὐτῷ τὰ λοιπὰ μέλη τῆς ἐκκλησίας, ἐπιστηρίζεται δὲ ἡ ἐκκλησία τοῦ θεοῦ. οὗτος γάρ ἐστι κατὰ τὴν δοθεῖσαν αὐτῷ παρὰ τοῦ κυρίου δωρεὰν ἡ ἀρραγὴς καὶ ὀχυρωτάτη πέτρα, ἐφ' ἧς τὴν ἐκκλησίαν ὁ σωτὴρ ᾠκοδόμησε. μνημονεύεται πάλιν Ἰάκωβος καὶ Ἰωάννης, καὶ

---

13 I Cor 12,26; cf Rom 8,17 23-24 Ps 18,5 24-25 cf I Tim 3,15 28 Is 12,3 30-31 cf Luc 22,32 31-32 cf Matth 16,16 33sq Marc 3,17

$E^{I}E^{II}$ 2 ᾖ v 7 post ἡμεῖς add αὐτοῖς E^{II} 9 μόνον v 12 post δοξαζομένου add μου $E^{I}E^{II}$v (sed delendum videri in v annotatum est) 24 post καὶ add τὰ v 26 τὸ om E^{II} 32 ἦν E^{I}

ὡς υἱοὶ βροντῆς ὑπὸ τοῦ σωτῆρος προσαγορευόμενοι πάσας ἑαυτοῖς τὰς ὁμβροτόκους νεφέλας συνεπιφέρονται· ῥηγνυμένης γὰρ τῆς βροντῆς ἀνάγκη καὶ τὰς νεφέλας συναθροίζεσθαι. νεφέλας μὲν οὖν τοὺς ἀποστολικοὺς καὶ προφητικοὺς λόγους ὑποληπτέον, ὧν εἰ καὶ διάφοροι τοῦ κηρύγματος οἱ χρόνοι, ἀλλὰ σύμφωνοι τῆς εὐσεβείας οἱ νόμοι· ἐξ ἑνὸς γὰρ αὐτοῖς καὶ τοῦ αὐτοῦ πνεύματος ὥρμηται τὰ χαρίσματα. ἀλλὰ τί τοῖς ἀδυνάτοις ἐπεξιέναι τολμᾶν καὶ τῆς ἀποστολικῆς ἀρετῆς ἐπαξίως πειρᾶσθαι μνημονεύειν; οὐ πρὸς Σίμωνα ἡμῖν τὸν ἀπὸ τῆς ἁλείας γνωριζόμενον ἡ τῶν ἐπαίνων φιλοτιμία, ἀλλὰ πρὸς τὴν ἐκείνου πίστιν τὴν στερεὰν καὶ πάσης ὁμοῦ τῆς ἐκκλησίας τὸ στήριγμα. οὐδὲ πάλιν πρὸς τοὺς υἱοὺς Ζεβεδαίου τὸν λόγον ἔχομεν, ἀλλὰ πρὸς τοὺς Βοαναργεῖς, τοὺς ἑρμηνευομένους Υἱοὺς βροντῆς. ποῦ νῦν φανήσεται ἡ βραχυτάτη τοῦ λόγου φωνὴ τοσαύτης καὶ τηλικαύτης βροντῆς τὰς πάντων ἀκοὰς περιηχούσης; οὐκοῦν αὐτὸ τοῦτο μόνον τὴν πρὸς τοὺς ἁγίους εὐγνωμοσύνην ἀποπληρῶσαι σπεύσαντες ἐπὶ τὴν ἀκίνδυνον σιωπὴν καταφεύγομεν, ἐκεῖνο καλῶς εἰδότες, ὡς ἐνὶ τούτῳ ταῖς μνείαις τῶν ἁγίων κοινωνεῖν ἀξιούμεθα, ἐν τῷ τὰς ἐκείνων ἀρετὰς μιμεῖσθαι καὶ ζηλοῦν· οὐκ ἐν τῷ λόγῳ περιφέροντες αὐτῶν τὸν βίον, ἀλλ' ἐν τῇ γνώμῃ διασῴζοντες αὐτῶν τὸν τρόπον. ἀποδείξει γὰρ ἡμᾶς ἐκείνων γνησίους μαθητὰς οὐ συνήθεια μετὰ ἀλογίας, ἀλλ' εὐσέβεια μετὰ εὐλαβείας καὶ ὁ βίος ὁμόδοξος καὶ ὁ τρόπος ὁμόζηλος. τιμᾷς μαρτύρων τὴν μνήμην; τίμησαι καὶ τὴν γνώμην· κοινωνία γὰρ τῆς μνήμης ἡ συμφωνία τῆς γνώμης. μὴ γὰρ ἐκείνοις μόνοις ἐπέλαμψεν ὁ φωτισμὸς τῆς γνώσεως τῆς δόξης τοῦ εὐαγγελίου τοῦ Χριστοῦ; μὴ γὰρ ἐκείνοις μόνοις ἡ χάρις ἐξαπεστάλη; αἱ ἐντολαὶ κοιναί, ὁ τρόπος κοινός, εἷς ὁ τῶν πόνων ἀγωνοθέτης, ἓν τὸ βραβεῖον τῆς ἀληθείας, οὗ γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, εὐχαῖς καὶ πρεσβείαις τῶν μνημονευθέντων ἁγίων, χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. 736 M.

5-6 cf I Cor 12,4 12 cf ad 104,33 23-24 cf II Cor 4,4 et 6

$E^{I}E^{II}$ 4 ὑποληπτέον om E^{II} 6 ὥρμηνται E^{II} 9 πίστιν — καὶ: τὴν ἀσάλευτον· τῶν· E^{II} 11 Βοανεργεῖς v 16 τούτων E^{II} 22 τίμησαι: τίμησον E^{II} 27 εὐχαῖς — ἁγίων om E^{II} 28-29 τοῦ κυρίου — ἀμήν om E^{II}

COMENTARIO

(97, 1-3) ἐπεδήμησε Χριστός - οἰκονομίας

Según la cita del mismo título, este discurso se presenta como "otro encomio (ἕτερον ἐγκώμιον) de Esteban protomártir de Gregorio obispo de Nisa". Por lo que concierne a este último aspecto, se ha llegado incluso a dudar sobre la autoría de este discurso, ya que, como el códice Ψ glosa: Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως εἰς τὸν ἅγιον Στέφανον ἐνκώμιον (cabe observar, en la trascripción de este último lema, un muy típico error de copia por parte del amanuense, transcribiendo erróneamente la pronunciación nasal de la gamma seguida por otra consonante gutural). La inviable atribución del discurso a Juan Crisóstomo, sin embargo, es citada por Lendle en su introducción (*In s. Steph*., II, *in app. crit.*, p. CCXVII: *quod in eo codice Ioanni Chrysostomo addictum est*), pero viene omitida la razón por la cual él atribuye este discurso a Gregorio de Nisa. Sin embargo, encontramos en el *Sinaiticus*, en ambos folios, el epígrafe τοῦ αὐτοῦ Γρηγορίου ἐπισκόπου Νύσης (E^{I}) y una más reducida τοῦ αὐτοῦ (E^{II}). Como puede observarse en la edición de Lendle, el editor corrige además el mismo códice sin explicar en el aparato su intervención (Νύσης 〉 Νύσσης). El texto ha sido transmitido, como el editor glosa en su prefacio, en dos códices, el Ψ (el *Sinaiticus* gr. 493) y el E (el *Vaticanus* gr. 446), repartido este último en dos folios. El *Sinaiticus* no transmite el texto por entero, ya que, como puede notarse en la p. 100 de la edición crítica, línea 15, el texto se interrumpe, como glosa Lendle (*In s. Steph*. II, *in app. crit.*, p. 100) después del participio διαλάμψαντες y cierra después con la bien conocida doxologia final: ὅτι αὐτοῦ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. La razón por la cual este texto no haya sido tan copiado como el anterior, el cual contaba con muchísimos más códices, puede que se deba a varios factores (p. CCXVII): *facile autem cognosci*

potest in libro Ψ *primam partem homiliae, quae ad Stephanum pertinet, a reliqua et maiore parte, in qua apostoli Petrus Iacobus Ioannes laudabuntur, seiunctam et in brevem laudationem nemini nisi Stephano dedicatam ese conversam: homo enim doctus, qui Sinaiticum* Ψ *scripsit, eam sententiam, qua Gregorius alteram homiliam pridie habitam commemorat* (98, 20: ἣν χθὲς ἀποπληρῶσαι), *delevit et, ut brevissimum encomium paululum produceret, post* 100, 8 μου *et post* 100, 15 διαλάμψαντες *nonnulla verba addidit. Itaque textum orationis in codice* Ψ *retractatum esse constat, quod permultis quoque lectionibus propriis, quibus Sinaiticus* Ψ *a Vaticano* E *differt*, comprobatur: *quarum pleraeque ad textum restituendum adhibendae non sunt. Apographa* E^{I} *et* E^{II}, *quae raro inter se differunt, ex eodem fonte fluxisse mihi persuasi. nam nonnullis erroribus et lacunis coniuncta sunt. quorum maximi momento est lacuna* 102, 22, *ubi linea codicis, ex quo apographa pendent, tota amissa esse videtur. Alii quoque errores apographorum* (101, 21; 102, 24), *quos corrigere non potui, ab archetypo profecti esse videntur. item 99, 6, ubi post hosper goun in E falso Korinthiois, in* Ψ *recte Filippesiosi additum est, archetypum mendosum fuisse censeo; Gregorium enim locum, quo verba Pauli inveniuntur* (*Phil*., 4, 1), *non commemoravisse, sed scribam archetypi ex memoria nomen Corinthiorum inseruisse* (cf. *2Cor*., 1, 14) *et scribam libri, ex quo Sinaiticus descriptus est, errorem correxisse puto. nam eam falsam lectionem ex vera ortam esse mihi persuaderi non potest. Itaque non modo* E^{I} et E^{II}, *sed etiam* Ψ *ex eodem mendoso archetypo pendere verisimile est*. Sobre la tradición del texto acerca de la segunda homilía de Gregorio de Nisa sobre Esteban, véase Lendle 1965, 320-326.

(97, 4-16) μετὰ Χριστὸν - ἀκάνθας

La inversión sujeto-verbo, en tiempo aoristo, introduce el προοίμιον de la oración; el hipérbaton es repetido tres veces y colocado en posición estratégica al principio de cada oración: ἐπεδήμησε Χριστός - ἔλαμψεν ὁ μάρτυς - ἠκολούθησαν οἱ μαθηταί, en el periodo que da comienzo al discurso. A esta

estructura le siguen dos cola, ambos construidos según el sintagma nominal preposición μετά más sustantivo. El inicio, solemne, presenta de nuevo a Esteban como consecuencia de la venida de Cristo, del cual provienen los frutos de la Iglesia. Esta estricta vinculación sirve para que Esteban sea clasificado como cristiano y no como judío. Esteban es comparado a una flor la cual ha sido compuesta como una corona por los cristianos, no por los judíos, los cuales, a juicio de Gregorio, son culpables de haber puesto en la cabeza del Salvador una corona de espinas. Así, pues, cita Isaías (*Is.*, 5, 7: "pues bien, viña de Yahvé Sebaot / es la casa de Israel, y los hombres de Judá / son su plantío exquisito. / Esperaba de ellos justicia, y hay iniquidad; / honradez, y hay alaridos").

(97, 16 - 98, 2) οἱ δὲ τῆς εὐαγγελικῆς - σοφίας

Justo después del προοίμιον, el autor pasa al encarecimiento (αὔξησις) del destinatario del encomio. El predicador ensalza la figura del mártir subrayando su primacía, por revestir el epíteto y el lugar de protomártir. Gregorio consigue este efecto subrayándolo mediante el prefijo προ-, el cual aparece en todas sus variantes lexicales: como adverbio (πρῶτον), como prefijo nominal (προοίμιον), como adjetivo (πρώτην), como prefijo verbal (προσφέρουσι) y nuevamente como adverbio (πρῶτον).

(98, 4 - 99, 8) Στέφανος γάρ - ἐπανέλθωμεν

Mediante un κεφάλαιον de conjunción (*In s. Steph*. II, 98, 4-5, parafraseando *At*., 6, 8), Gregorio pasa al ἐγκώμιον, en el cual va presentando las ἐπιτηδεύματα intercalándolas con las τὰ περὶ ψυχήν, las virtudes morales.

(99, 9 - 101, 2) εἰσῆλθεν - πολυπλασιάζεται

Introducción al martirio de Esteban: Gregorio, tal como las reglas del encomio menandreo preveían, pasa a describir las πράξεις de Esteban, intercaladas por las τὰ περὶ ψυχήν, las virtudes morales. Este, definido como Χριστοφόρος, hace su entrada en el sanedrín de los Χριστοφόνοι. Gregorio compara la entrada de Esteban a un rebaño en una jaula de lobos, un rebaño sin embargo pastoreado por Cristo mismo y preparado para enfrentarse a los lobos (se ha respetado en la traducción la repetición, monótona, de los sustantivos τὸ πρόβατον y ὁ λύκος).

(99, 17) ἐθάρσησε παρρησιάσασθαι καὶ εἰπεῖν

Viene formulado, *in nuce*, un principio muy querido para el niseno, el de la παρρησία**.** Esta misma expresión es utilizada en el *De oratione dominica* para expresar la confianza que el cristiano adquiere, mediante el rezo del *Pater Noster*, para poder llamar a Dios "Padre" (*De orat. dom.*, 29, l. 4-7). Esteban alcanza, pues, esta confianza por encontrarse libre de pecado. Orígenes primero, y, en segundo lugar, Evagrio identificaban la παρρησία con l'ἀπάθεια: la relación con Dios se convierte en filial en el momento en el cual el alma, en plena ascesis mística, se encuentra libre de pecado. La παρρησία ocupa un amplio espacio dentro de la obra nisena: sobre este tema se ha discutido ampliamente, empezando por el ensayo de Scarpat (2001); las referencias a la παρρησία en Gregorio y en el Padre Nuestro se encuentran en 121-125 y en Garzya 1983, 285-290. En el griego clásico, la παρρησία se identificaba con la libertad política, prerrogativa del ciudadano frente a la asamblea democrática. Heródoto identifica este término con la igualdad ante la ley, connotándola de un valor puramente político. Plutarco, un par de siglos más tarde, la define como "un derecho natural que compartimos

con el ente divino" (Plut., *De lib. educ.*, 1B [p. 34]): καλὸς οὖν παρρησίας θησαυρὸς εὐγένεια, ἧς δὴ πλεῖστον λόγον ποιητέον τοῖς νομίμου παιδοποιίας γλιχομένοις. En el griego neotestamentario, es la seguridad de poder confiar en la buena nueva que los apóstoles anuncian por el mundo (*At.*, 28, 31 [p. 408]): κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ καὶ διδάσκων τὰ περὶ [τοῦ κυρίου] Ἰησοῦ Χριστοῦ μετὰ πάσης παρρησίας ἀκωλύτως. Gregorio, sintetizando la tradición pagana con la clásica, hace de ella el vehículo de la comunicación entre lo divino y lo humano: en el diálogo ante Dios, la παρρησία constituye la libertad para el creyente el poder comunicarse de manera filial con él, al encontrarse apartados del pecado. El niseno añade pues una nueva dimensión a este concepto propiamente clásico, la teológica: la libertad de una conciencia sin miedo ni vergüenza. Según Scarpat, la παρρησία coincide con la ἐλευθερία, definida como "l'aspetto più intimo della libertà profonda dell'uomo, che riflette l'infinito dominio di Dio" (Scarpat 2001, 121). La vergüenza (αἰσχύνη) es un aspecto de la pérdida de la franqueza filial, una manifestación del pecado de la conciencia debido al modo caótico y desordenado de las pasiones. Indudablemente la παρρησία es el resultado de la ἀπαθεία, de la completa ausencia de pasiones, la cual a su vez permite restablecer en la conciencia de cada cristiano la imagen divina perdida a causa del pecado. Como observa Daniélou, el retorno del alma a la παρρησία marca de una cierta manera el retorno al estado de la inocencia (Daniélou 1944, 103-125).

(100, 8) Κύριε, φησίν, Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου

Como demostración de la oralidad del texto, Gregorio parafrasea de memoria el pasaje de *At.*, 7, 55-59: ἄκουσον δὲ πῶς καὶ ὑπὲρ τῶν λιθαζόντων εὔχεται· λέγων· κυρίε μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. ὦ πόση ἀμνησικακία, ὦ προαίρησις ἀγαθή· ὦ πόση ἀγάπη καὶ συμπάθεια - ἐβούλετο

γὰρ μὴ μόνον ἑαυτὸν εἰς βασίλειαν εἰσελθεῖν, ἀλλὰ καὶ ἐκείνους τοὺς φονέας· κύριε Ἰησοῦ δέξαι τὸ πνεῦμά μου.

(100, 15) διαλάμψαντες […]

El códice *Sinaiticus* Ψ se interrumpe (como puede notarse en *In s. Steph*. II, *in app. crit.*, 100, l. 15) y cierra pues la oración con la bien conocida doxología final: ἡμεῖς δὲ ἀγαπητοὶ ταῖς μνείαις τῶν ἁγίων κοινωνοῦντες δόξαν ἀίδιον ἀναπέμψωμεν τῷ θεῷ τῷ οὕτως πάντα καλῶς οἰκονομήσαντι· εὐχαῖς τοίνυν πάντων τῶν ἁγίων καὶ εὐχαῖς τοῦ ἁγίου Στεφάνου πάντας ὑμᾶς ὁ θεὸς διασώσῃ καὶ διαφυλάξῃ· δώσῃ ὑμῖν κλῆρον μετὰ τῶν ἁγίων, ὅτι αὐτοῦ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. La oración, y su correspondiente estructura menandrea, se acabaría así, y empezaría a continuación de nuevo otra oración, en este caso el encomio de Pedro, Santiago y Juan. De hecho, podríamos considerar el párrafo 100, 15 - 101, 2 como un κεφάλαιον de conjunción para volver a presentar un nuevo encomio de los santos. Este, pues, sería en toda regla el proemio de la oración misma. Gregorio mismo declara que hay una ἀκολουθία interna entre las dos oraciones: "súbitamente todas estas sagradas piedras se entrelazan con Esteban". No obstante, como sostiene el obispo: "haremos fiesta de nuevo con coronas y nos uniremos a sus celebraciones". Hasta este punto nuestra teoría quedaría suficientemente demostrada; sin embargo, Gregorio apostilla al final: "no voy a rehusar el nombre de Esteban, sino que, a menudo, o incluso millones de veces, voy a repetirlo hasta la saciedad. Pues la saciedad de Esteban no existe para aquellos que aguardan el final feliz de las coronas". Si analizamos con atención el texto sucesivo, no vuelve a aparecer ni una sola vez el nombre de Esteban, ni

directamente ni por *praeteritio*, mientras que son repetidos, en numerosas ocasiones, los nombres de los otros apóstoles.

(101, 3 - 105, 19) πάλιν δὲ ἡμῖν - τὸν τρόπον

Encomio de Pedro, Santiago y Juan. El encomio, anticipado anteriormente en 100, 17, es leído, como dice Gregorio, el domingo de Resurrección (τῷ τὴν κυριακὴν τῆς ἀναστάσεως † *locus obscurus* †; después de πέρας, en el manuscrito E^1 faltan 10 letras).

(105, 19-29) ἀποδείξει γὰρ - ἀμὴν

He aquí la *peroratio*: Gregorio cierra la oración, como de costumbre, insertando la fórmula doxológica conclusiva.

IV

Cuarta parte

Βίος τοῦ ἁγίου Γρεγορίου τοῦ Θαυματουργοῦ

APÉNDICE

VIDA DE GREGORIO EL TAUMATURGO

INTRODUCCIÓN

Van Dam sostiene que Capadocia estuvo en la más importante de las encrucijadas, justo al principio de la Cristiandad[246]: fueron los ciudadanos capadocios los primeros espectadores de Pentecostés, el germen de la difusión apostólica del mensaje evangélico, y los últimos en sufrir persecución, concretamente la del 312, con Maximino Daya, bajo la cual algunos de los mártires más ilustres fueron cristianos de esta región[247]. Sin embargo, a pesar de

[246] VAN DAM 2003, 1-5. En la introducción de este ensayo, junto con otros dos (*Kingdom of Snow* y *Families and friends*), el historiador nos proporciona un estudio detalladísimo de la época de los Padres Capadocios.

[247] Según mi opinión, no podemos clasificar como "persecución" aquella llevada a cabo por Maximino Daya en el 312. No es una casualidad, de hecho, que esta fuera la última represión antes de la *pax* ratificada por el conocido como "Acuerdo de Milán": el Augusto oriental continuó la obra de su compañero Galerio y del Edicto de Sárdica. Maximino actuó en una persecución anti-sanguinaria, condenando a los cristianos *ad metalla* o a trabajos forzados, y perpetuó su política propagandística anticristiana a través de su *libellum Acta Pilati* que, según

estos acontecimientos, a lo largo de su primera evolución, esta religión empezó a arraigar en Ásia Menor bastante tarde, en pleno apogeo de la época de los Padres Capadocios. Durante el Bajo Imperio, las comunidades cristianas del Ponto, de Galacia y Capadocia eran muy escasas: solo a mediados del siglo III empiezan a aparecer documentos y testimonios que atestiguan la vida y el funcionamiento de las comunidades cristianas primitivas. Según estas fuentes, esta conversión "fulminante" y masiva de la Península Anatolia se debe principalmente, como también el discurso en examen demuestra, a la obra de evangelización de Gregorio el Taumaturgo. Por lo que concierne a una localización territorial, el núcleo base de su actividad fue la ciudad de Neocesarea (hoy Niksar) y sus alrededores, en el corazón del Ponto. Ponto era la región del Asia Menor, en la costa del Mar Negro, que limitaba al Este con la Cólquida (hoy Georgia occidental) y Armenia, al Oeste con la Paflagonia y al Sur con la Capadocia. Esta división territorial iba cambiando a menudo, según la rotación de los emperadores; de hecho, la provincia romana denominada *Bithynia et Pontus*, organizada por Pompeyo y de la cual fue gobernador Plinio el Joven (111-113), comprendía, además de Bitinia (con la ciudad de Nicomedia, sobre el mar de Mármara y el Bósforo), Paflagonia (actualmente al norte de Ankara) y el Ponto mismo, con la ciudad de Sinope y Amisus. Estas dos secciones de territorio son integradas en una sola y pasan a ser parte de la provincia de Capadocia durante el reinado de Trajano (más exactamente, en el 110), mientras que la provincia del Ponto sigue existiendo, como atestiguan dos inscripciones, incluso bajo el Imperio de Alejandro Severo. Esta es la zona en la que, con un cierto margen, el

Eusebio (*Hist. eccl.*, IX, 5 [p. 810]), estaba lleno de blasfemias: πλασάμενοι δῆτα Πιλάτου καὶ τοῦ σωτῆρος ἡμῶν ὑπομνήματα πάσης ἔμπλεα κατὰ τοῦ Χριστοῦ βλασφημίας.

Taumaturgo ejerce su evangelización y predicación[248]. Los testimonios históricos hablan principalmente de él como predicador y evangelizador de la región de Capadocia, donde encontró solo a diecisiete cristianos[249], y, al final de su predicación, solo diecisiete eran los paganos que quedaban sin convertir; había sido discípulo de Orígenes, y después de haberse formado en su escuela, imbuido del espíritu de la sabiduría, llevó a Dios a todo su pueblo. El primer problema con el cual nos encontramos, a la hora de analizar su obra de evangelización, es el uso de las fuentes que permiten conocer su vida.

Las principales biografías de Gregorio el Taumaturgo son las de Gregorio de Nisa y la de Basilio, las cuales no son propiamente atendibles, puesto que respetan los cánones de la biografía plutarquiana y helenística pero descuidan los parámetros históricos esenciales; al apostar por un juicio parcial sobre el personaje y, en la mayoría de los casos, partidista, como solía ocurrir en las biografías plutarquianas, se sirven de una finalidad moralista para hacer encajar al personaje dentro de su visión personal, moldeándolo según su perspectiva ideológica. Estos cánones se aplican principalmente a la obra del niseno, mientras que las referencias a la vida del Taumaturgo en la obra basiliana aparecen en varias obras, como confirmación del amplio patrimonio oral y de la tradición sobre la vida y los milagros del santo todopoderoso[250]. Estos datos sobre el

[248] MÉTIVIER 2005, 9-34; sobre el papel fundamental desempeñado por Gregorio Taumaturgo en la cristianización de Capadocia, véase p. 25.

[249] GREG. NYSS., *De vit. Greg. Thaum.*, 15, 30; 53, 23. Como veremos más adelante, el de Nisa proporciona, además, unas coordenadas históricas aproximadas sobre la predicación del Taumaturgo: entre el 210/213 y el 270/275 d. C.

Un día, mientras oraba como de costumbre con los que estaban con él, fue asaltado de repente por una sensación de ansiedad y confusión. Se hizo visible para los presentes que estaba sorprendido y conmocionado por su visión y que había aguzado el oído como si estuviera oyendo una voz cercana. Pasó así no poco tiempo, y se mantuvo, durante el mismo, fijo e inmóvil. Luego, como si el espectáculo al que asistía hubiera terminado felizmente, volvió a su posición anterior y alabó a Dios con las palabras de victoria y de alabanza que oímos a menudo en los Salmos de David, cuando dicen: "bendito sea Dios, el que no nos dio como presa para sus dientes".

Los que lo rodeaban se quedaron atónitos y le pidieron que les explicara qué visión había tenido ante sus ojos. Él contestó, cuentan, que había visto en ese momento, allí mismo, una gran caída, porque el demonio había sido derrotado

por un joven en la batalla por la fe. Como no lo habían entendido, les explicó con mayor claridad lo que acababa de decir: que un joven patricio, arrastrado por su verdugo ante el gobernador, había luchado en aquel momento por la fe mediante la asistencia divina. Asimismo, el maestro añadió su nombre, llamándole Troadio, quien, después de muchos tormentos superados con valentía, se había ceñido la corona del martirio.

La conversión del diácono

Impresionado por la historia, el diácono, aunque no se atrevía a no creer lo que decía, pero al mismo tiempo pensando que estaba por encima de la naturaleza humana que el santo, que se encontraba en aquel momento muy lejos de la ciudad y nadie le había informado sobre este suceso, les contara a los que estaban con él en detalle lo que había sucedido allí, como si hubiera asistido personalmente al evento, pidió al maestro que le concediera poder ver con sus propios ojos lo que estaba pasando y que no le impidiera poder acudir hasta la escena del milagro.

Como el santo le dijo que era peligroso estar en el medio de las matanzas y que podía sufrir algún percance (a menudo el resultado de las trampas del enemigo), el diácono dijo que tenía confianza en la asistencia de sus oraciones, y le dirigió estas palabras: "encomiéndame a Dios y el miedo a mis enemigos no me afectará". Así, tras brindarle Gregorio el auxilio de Dios mediante la oración, el diácono se puso en marcha, confiado, sin llamar la atención de los que encontraba por el camino.

Al llegar a la ciudad en plena noche, cansado de viajar, necesitaba reposar su cuerpo en un baño público. Pero dominaba en este lugar un demonio asesino instalado en las termas, que ejercitaba su fuerza destructiva contra aquellos que iban allí con la oscuridad, por lo que el baño estaba cerrado y sin servicio después

del atardecer. Cuando el diácono se acercó a este lugar, preguntó quién era el responsable de abrir la puerta para dejarlo entrar y pidió que no le privara de los beneficios de un baño. El guardián le aseguró que ninguno de los que se atrevían a entrar durante aquella hora había vuelto por sus pies, ya que el demonio, por la noche, se apoderaba de todos, y que muchos, por no hacer caso del aviso, habían sufrido daños irreparables y, en vez de la relajación esperada, obtenían cantos fúnebres, tumbas y llantos. Pese a que el guardián le dijo esto y otras cosas similares, el diácono no cesó en su deseo, sino que insistió, de todas las maneras, presionándolo para que lo dejara entrar. Entonces el custodio, pensando que ya era un provecho para él no correr peligro junto con el extranjero inconsciente, le dio la llave y se alejó de las termas.

Una vez dentro y desnudo, el demonio trató de asustarlo y aterrorizarlo por todos los medios: con fantasmas de todo tipo que mostraban una naturaleza mezclada de fuego y humo, apareciendo ante sus ojos en forma de hombres o animales, retumbando en sus oídos, haciéndole sentir su proximidad con su aliento, formando un círculo entorno a su cuerpo. Él, sin embargo, poniendo por delante el signo de la cruz e invocando el nombre de Cristo, cruzó la primera sala del baño incólume. Tras haber avanzado más adentro, se encontró con visiones más elaboradas, porque el diablo se transformó en una imagen más aterradora, al tiempo que parecía que el edificio estaba siendo sacudido por un terremoto y el suelo se abrió a sus pies dejando salir llamas y chispas que brotaban desde el fondo de las aguas. Una vez más, la misma arma —el signo de la cruz y el nombre de Cristo— y la ayuda de las oraciones del maestro disiparon el carácter aterrador de estas apariciones y de estos fenómenos. Por último, fuera del agua, apresurándose hacia la salida, encontró otro obstáculo: el diablo le había bloqueado la puerta. Pero ese obstáculo fue removido de nuevo por el mismo poder, ya que la puerta se abrió con el signo de la cruz.

Después de que todo hubiera ido según su voluntad, se dice que el

demonio le gritó con voz humana que no contara como suya propia aquella fuerza con la que había evitado la muerte, puesto que era la voz de quien lo había entregado al protector, aquella que le había regalado la invulnerabilidad. Salvado de la manera que acabamos de contar, el diácono provocó el asombro de las autoridades locales, porque ninguno, de los que hasta entonces se había atrevido a entrar en los baños de noche, había vuelto a ser visto entre los vivos. Después de contarles lo que le había pasado y de enterarse de que los actos heroicos de los mártires de la ciudad habían ocurrido de la misma manera que el santo que vivía en soledad había narrado previamente y, tras haber sumado a los milagros de este que había visto y oído el que, por su propia experiencia, le había mostrado el poder de la fe del santo, de la cual había rendido testimonio también el diablo, volvió con su maestro, dejando a sus contemporáneos y a sus sucesores una enseñanza universal de protección: que cada uno de ellos se encomendara a Dios a través de los sacerdotes. E incluso ahora, como una creencia que existe en toda la Iglesia, se recuerda la asistencia proporcionada por Gregorio a su diácono.

Vuelta de Gregorio del desierto: el culto a los mártires

Cuando, con la ayuda de Dios, la tiranía fue abatida, y el género humano disfrutaba de un período de paz, ya que nuevamente era libre de celebrar lo divino, descendió de nuevo a la ciudad, y, después de haber viajado por toda la región de manera oficial, instituyó para la población unos festejos en honor de los mártires que lucharon por la fe, añadidos a las ceremonias ya existentes. De esta manera los cuerpos de los mártires eran llevados de un sitio a otro y los cristianos, que se reunían anualmente por el aniversario, se alegraban celebrando la fiesta en honor de los mártires.

Esto es una prueba de su gran sabiduría pues, tras haber cambiado de repente el ritmo de toda una generación de su tiempo hacia una vida nueva, como

un auriga dispuesto por la naturaleza, tras haberlos sometido con firmeza mediante las bridas del conocimiento de Dios, les concedía a los sometidos que se distrajeran un poco del yugo de la fe. Pues, siendo consciente de que la mayoría, como los niños y los menos instruidos, permanecía en el error de los ídolos por los placeres del cuerpo, a fin de que llegaran lo más cerca posible de lo fundamental, es decir, pasaran de las necias supersticiones a Dios, les permitió mostrar su alegría en las fiestas de los mártires, para divertirse y entretenerse. De este modo, con el tiempo, sus vidas se tornaron de manera automática en vidas más religiosamente rectas, con la ayuda de la fe, que contribuía a ello. Esto ya era un hecho para la mayoría, que pasó así de los placeres a una forma espiritual de felicidad.

La muerte

De esta manera gobernaba la Iglesia. Deseando, antes de morir, ver convertidos a todos del culto de los ídolos a la fe salvadora —puesto que ya preveía su traspaso—, cuidadosamente pasó por todas las ciudades y las regiones circundantes para enterarse de cuántos quedaban aún fuera de la fe. Cuando supo que los que permanecían en el antiguo engaño no eran más que diecisiete, dijo, levantando los ojos al cielo: "es triste que falte aún este grupo entre los salvados. Sin embargo, merece un gran agradecimiento que deje a quien será mi sucesor en la Iglesia tantos idólatras como cristianos encontré cuando llegué". En su oración pidió, para los que ya eran creyentes, el crecimiento en la perfección, y para los infieles, la conversión, y así pasó de la vida de este mundo a Dios, después de recomendar a sus amigos que no compraran un terreno para que tuviera una tumba privada.

Así, puesto que, estando vivo, ya no había permitido que se le llamara señor de un lugar, sino que había pasado su vida como un extraño en la casa de

otros, no se avergonzaba de ser enterrado en una tumba después de su muerte. Sin embargo, dijo: "que se haga llegar a la posteridad que Gregorio, en vida, no ha recibido su nombre de ningún lugar, y a su muerte ocupó una tumba que no le pertenecía, porque él rechazó toda posesión de la tierra hasta el punto de no aceptar ser enterrado en un lugar propio. La única posesión valiosa, para él, era aquello que no contenía ningún rastro de la vanidad".

Sin duda alguna, lo que es digno de ser admirado por todos los que lean este elogio es que en un tiempo tan breve se convirtiera tanta gente de la estulticia griega al conocimiento de la verdad; y que nadie descrea de la manera providencial a través de la cual se llegó a semejante conversión de los que pasaron de la mentira a la verdad. Ahora, reanudando mi narración, hablaré de aquello que, para exponer la historia de los otros milagros, he omitido contar, y que sucedió en la primera época del sacerdocio del santo.

La peste

En la ciudad se celebraba una fiesta ritual tradicional en honor de una divinidad indígena. A esta fiesta acudió casi todo el pueblo de la región, que la celebraba junto con la ciudad. El teatro se iba llenando de todos aquellos que habían llegado a la ciudad, y las multitudes que habían acudido iban desbordando las gradas. Todos querían estar cerca de la orquesta para ver y escuchar mejor. El edificio estaba lleno de ruido y los actores no podían exhibirse: el estruendo de los que se iban congregando no solo les impedía disfrutar de la música, sino que ni siquiera permitía a los actores mostrar su actuación. Súbitamente se alzó la voz de toda la gente gritando, y a toda la ciudad le pareció que era la palabra de una sola boca que dirigía esta plegaría a la divinidad; el mensaje de la oración que se escuchaba era: "Zeus, haznos un hueco". El Grande, que escuchó el clamor que llamaba a la divinidad y que pedía un espacio más

grande, envió a uno de sus compañeros para decirles que pronto habría más aforo, más del que ellos pedían mediante la oración. Y en cuanto esa palabra fue pronunciada por él, como una maldición, una plaga de peste cayó sobre aquella gente que celebraba el día festivo.

De pronto, las danzas se mezclaron con lamentos, de modo que a ellos las chanzas se les trocaron en dolores y calamidades y, en vez de flautas y aplausos, el canto fúnebre invadió la ciudad. Una vez que la enfermedad contagió a los hombres, avanzaba más rápido de lo esperado, devorando las casas como un fuego, por lo que los templos se llenaron de aquellos que, afectados por la enfermedad, buscaban refugio en la esperanza de ser curados. Manantiales, fuentes y pozos se llenaron de los que ardían por la sed devastadora causada por la gravedad de la enfermedad. El agua, para ellos, era incapaz de calmar el interior de la boca, ya que los que sufrían la enfermedad se encontraban en el mismo estado antes y después de beberla. Muchos iban con sus propios pies hacia las tumbas, pues los vivos no bastaban para enterrar a los muertos. El ataque de la plaga no era imprevisible sino que, tan pronto como su aparición se producía en la casa destinada a perecer, la ruina era su directa consecuencia.

En cuanto todos se enteraron de la causa de la enfermedad, o sea que la divinidad local, el diablo, había escuchado la petición de aquellos necios, concediendo esta malvada amplitud a la ciudad mediante la enfermedad, se dirigieron suplicantes al Grande, pidiéndole que detuviera el avance de la plaga en nombre del Dios conocido y predicado por él, que ellos reconocerían como el único Dios verdadero que tenía poder sobre todas las cosas. Pues, cuando se acercaba la sombra de la enfermad, a punto de caer sobre alguna casa y causando de inmediato la desesperación, solo había un medio de salvación para los que estaban en peligro: que el gran Gregorio, llegado a esa casa, alejara con su oración la enfermedad que la amenazaba.

Y a medida que el rumor se iba extendiendo rápidamente por medio de

aquellos que habían tenido, entre los primeros, la oportunidad de recibir una salvación similar, eran inútiles todas las prácticas que, por su necedad, habían practicado anteriormente, como los oráculos, los sacrificios expiatorios, la pérdida de tiempo adorando a los ídolos: todos miraban hacia el sumo sacerdote y trataban de conseguir, llamando su atención, la salvación para sí mismos y la de sus familias. Para él, la recompensa fue la salvación de las almas de aquellos a quienes había curado, porque en tal tratamiento se manifestaba la piedad del sacerdote, y, para aquellos que habían visto los milagros operados por el poder de la fe, no había ya duda alguna de abrazar el misterio. Por lo tanto la enfermedad fue para estos hombres más eficaz que la salud, porque los que cuando estaban sanos carecían de fuertes razones para aceptar el misterio, se fortalecieron por la fe debido a la enfermedad del cuerpo. De esta manera, derrotado el engaño del culto a los ídolos, todos se convirtieron a la fe en Cristo, los unos llevados de la mano a reconocer esta verdad debido a la enfermedad, los otros poniendo por delante de ellos, como un amuleto contra la peste, la fe en Cristo.

Todavía hay muchos más milagros obrados por el Gran Gregorio, de los cuales se guarda aún memoria hasta hoy y que, a fin de ahorrarlos al oído incrédulo, no hemos añadido a esta obra, para que así no se ofendan aquellos que creen que esta verdad es una mentira en su mayor parte.

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ

ΕΙΣ ΤΟΝ ΒΙΟΝ ΚΑΙ ΤΑ ΘΑΥΜΑΤΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

'Ο μὲν σκοπὸς εἷς ἐστι τοῦ ἡμετέρου λόγου καὶ τοῦ παρόντος συλλόγου. Γρηγόριος γὰρ ὁ μέγας ὑμῖν τε τῆς συνόδου κἀμοὶ τῆς διαλέξεως ὑπόθεσις πρόκειται. ἐγὼ δὲ τῆς αὐτῆς οἶμαι χρῆναι δυνάμεως ἔργῳ τε κατορθῶσαι τὴν ἀρετὴν καὶ λόγῳ κατ' ἀξίαν τὰ καλὰ διηγήσασθαι. ὥστε ταύτην ἐπικλητέον ἂν εἴη τὴν συμμαχίαν δι' ἧς ἐν τῷ βίῳ τὴν ἀρετὴν ἐκεῖνος κατώρθωσεν. ἔστι δὲ αὕτη κατά γε τὸν ἐμὸν λόγον ἡ τοῦ πνεύματος χάρις ἡ καὶ πρὸς τὸν βίον καὶ πρὸς τὸν λόγον τοὺς περὶ ἑκάτερον τούτων ἐσπουδακότας δι' ἑαυτῆς ἐνισχύουσα. ἐπεὶ οὖν ὁ λαμπρὸς ἐκεῖνος καὶ περίβλεπτος βίος τῇ δυνάμει κατωρθώθη τοῦ πνεύματος, εὐχῆς ἔργον ἐστὶ τοσαύτην ἐλθεῖν ἐπὶ τὸν λόγον βοήθειαν, ὅση γέγονε παρὰ τὸν βίον ἐκείνῳ, ὡς μὴ κατόπιν εὑρεθῆναι τῆς ἀξίας τῶν κατορθωμάτων τὸν ἔπαινον, ἀλλὰ τοιοῦτον ἐπιδειχθῆναι τοῖς παροῦσι 893 M.

14 cf Men Rh περὶ ἐπιδεικτικῶν 213 (III 368, 10sqq Spengel)

Titulus: βίος τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ· συγγραφεὶς ὑπὸ τοῦ ἁγίου Γρηγορίου Νύσης V^c τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Νύσσης εἰς τὸν βίον τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας τοῦ θαυματουργοῦ Λ τοῦ αὐτοῦ εἰς τὸν βίον τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ Ον Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Νύσσης. Ἐγκώμιον ῥηθὲν εἰς τὸν ἅγιον Γρηγόριον τὸν θαυματουργόν. Γενόμενον ἐπίσκοπον Νεοκαισαρείας Ε βίος καὶ πολιτεία καὶ θαύματα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἀρχιεπισκόπου Νεοκαισαρείας τοῦ θαυματουργοῦ Ω Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Νύσης εἰς τὸν βίον καὶ τὰ θαύματα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Νεοκαισαρείας τοῦ θαυματουργοῦ U Γρηγορίου ἐπισκόπου Νύσης εἰς τὸν βίον καὶ τὰ θαύματα τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου γενομένου Νεοκαισαρείας τοῦ θαυματουργοῦ X^a

V^cSΛΟΕΩUX^a 5 ἡμετέρου: παρόντος Ε post παρόντος add ἡμῶν ν παρόντος: ἡμετέρου Ε 6 συνόδω V^c 7 χρῆναι: χρείαν εἶναι ΕΩUX^a 8 καλὰ: κάλλιστα SΛΩUX^aν 9 post συμμαχίαν add ἐμοὶ V^cSΩ post βίῳ add ἔργῳ Ε 12 ἐνισχύσασα S 13 ante πνεύματος add ἁγίου V^cS 14 ἔργων V^c 15 παρὰ: κατὰ Ω τὸν om S 16 post κατορθωμάτων add ἐκείνου V^cS ἐκεῖνον Λ ἐκείνων Ω ἀναδειχθῆναι V^cΛ ἀποδειχθῆναι S

διὰ τῆς μνήμης τὸν ἄνδρα οἷος ἦν τοῖς κατ' ἐκεῖνον τὸν χρόνον αὐτὸς ἐκεῖνος ἐπὶ τῶν ἔργων ὁρώμενος.

Εἰ μὲν οὖν ἀκερδὴς ἦν ἡ μνήμη τῶν κατ' ἀρετὴν προεχόντων καὶ μηδεμία πρὸς τὸ καλὸν ἐγίνετο συνεισφορὰ τοῖς ἀκούουσιν, περιττὸν ἴσως ἂν ἦν καὶ ἀνόνητον ἐπὶ μηδενὶ χρησίμῳ προάγειν εἰς εὐφημίαν τὸν λόγον αὐτόν τε διεξιόντα μάτην καὶ τὴν ἀκοὴν ἀργῶς ἀποκναίοντα. ἐπειδὴ δὲ ἡ τοιαύτη τοῦ λόγου χάρις, εἰ προσηκόντως γένοιτο, κοινὸν ἔσται τῶν ἀκουόντων τὸ κέρδος καθάπερ ὁ πυρσὸς τοῖς ἐκ θαλάσσης προσπλέουσιν ἐφ' ἑαυτὸν εὐθύνων τοὺς ἐν τῷ ζόφῳ πλανωμένους κατὰ τὸ πέλαγος, ἴσης οἶμαι δεῖν πρὸς τοῦτο τῆς σπουδῆς ἑκατέροις, ὑμῖν τε πρὸς τὴν ἀκρόασιν καὶ πρὸς τὸν λόγον ἐμοί. δῆλον γὰρ ὅτι πυρσοῦ δίκην διὰ τῆς μνήμης ἐλλάμψας ταῖς ψυχαῖς ἡμῶν ὁ κατ' ἀρετὴν αὐτοῦ βίος ὁδὸς πρὸς τὸ ἀγαθὸν τῷ τε διεξιόντι καὶ τοῖς ἀκούουσι γίνεται. πεφύκαμεν γάρ πως οἱ ἄνθρωποι πρὸς ἅπαν τὸ ἐπαινετόν τε καὶ τίμιον οἰκείως ἐθέλειν ἔχειν καὶ ἐν ἐπιθυμίᾳ τῆς κτήσεως γίνεσθαι.

Ἡ μὲν οὖν ὑπόθεσις τῶν λόγων τοσαύτη. ἐμοὶ δὲ πανταχόθεν ἀκίνδυνόν ἐστι κατατολμῶντι τῆς ὑποθέσεως εἴτε συνεπαρθῆναι τῷ μεγέθει
896 M. τῶν πραγμάτων ὁ λόγος ἰσχύσειεν εἴτε καὶ μή. ἴσος γὰρ ἔσται καθ' ἑκάτερον τῷ ἐγκωμιαζομένῳ ὁ ἔπαινος. εἰ μὲν γὰρ ἐφίκοιτο τῶν θαυμάτων ὁ λόγος, ἐκπλήξει τὴν ἀκοὴν πάντως τοῖς κατορθώμασιν, εἰ δὲ κατόπιν τοῦ μεγέθους ἔλθοι, καὶ οὕτως ἡ δόξα τοῦ ἐγκωμιαζομένου λαμπρύνεται. ἀρίστη γὰρ ἀνδρὸς εὐφημία τὸ ἐπιδειχθῆναι τῆς δυνάμεως τῶν εὐφημούντων ἀμείνονα.

Μηδεὶς δὲ τῶν τῇ θείᾳ σοφίᾳ πεπαιδευμένων κατὰ τὴν τῶν ἔξω συνήθειαν ταῖς τεχνικαῖς τῶν ἐγκωμίων ἐφόδοις ἐπαινεῖσθαι ζητείτω τὸν πνευματικῶς εὐφημούμενον. οὐ γὰρ ἀπὸ τῶν ὁμοίων ἡμῖν τε καὶ τοῖς ἄλλοις ἡ τοῦ καλοῦ κρίσις ἐστίν, οὔτε τὰς αὐτὰς περὶ τῶν αὐτῶν

14-15 cf. Panaetium ap Cic off I 14 16sqq cf Thucyd 2,35,2 24 τῶν ἔξω cf I Cor 5,12sq; Col 4,5; I Thess 4,12

V^{c}SΛOEΩUX^a 1 διὰ τῆς μνήμης ante τοῖς (3,16) coll V^{c}S om Λ 3 προσεχόντων X^a 4 καλὸν: παρὸν E ἐγένετο V^{c}Ev 5 ἂν ἴσως coll SE προσάγειν OEX^{a}v 7 ἐπεὶ δὲ V^{c}EΩ τοιαύτη ἡ coll E προσηκόντος X^a 8 τὸ om ΛX^a inter πυρ- et -σὸς 2 litt del O τοῖς: τῆς U θαλάττης Ω ἐν θαλάσσῃ SE (θαλάττῃ) 9 ἠθύνων V^c ἰθύνων SΛ τῷ om V^{c}SΛ γνόφῳ SΩ 10 οἶμαι δεῖν om V^c τούτῳ V^c τούτοις E τῆς om S ἑκατέροις: εἶναι χρὴ V^c 12 ἐνλάμψας Ω ἐκλάμψας Ov 13 γενήσεται Ω 14 ἅπαν — ἐθέλειν ἔ] (15) om V^c τε om SΛ 15 ἔχειν ἐθέλειν coll E ἐν om X^a κτίσεως V^{c}O post κτήσεως add τῶν καλῶν Ω 16 το.αύτη S τοιαύτη X^a 18 ἴσως V^c 19 θαυμάτων: πραγμάτων E (an irrepsit e linea 18?) 22 λαμπρύνεται: γίνεται V^c 24 τῶν: τὸν V^c τῶν ante ἔξω om V^{c}EX^a 26 ἐπαινουμένον Ov 27 οὐδὲ EΩUX^a

ὑπολήψεις εὕροι τις ἂν τοῖς τε κατὰ τὸν κόσμον ζῶσιν καὶ τοῖς ὑπερανεστηκόσιν τοῦ κόσμου. τοῖς μὲν γὰρ μέγα τι δοκεῖ καὶ σπουδῆς ἄξιον εἶναι πλοῦτος καὶ γένος καὶ δόξα καὶ κοσμικαὶ δυναστεῖαι καὶ μῦθοι τὰς πατρίδας οἰκίζοντες καὶ τὰ φευκτὰ τοῖς νοῦν γε ἔχουσιν διηγήματα, τρόπαια καὶ μάχαι καὶ τὰ ἐκ πολέμων κακά, τῷ δὲ καθ' ἡμᾶς λόγῳ μία τετίμηται πατρίς, ὁ παράδεισος ἡ πρώτη τοῦ γένους τῶν ἀνθρώπων ἑστία, μία πόλις, ἡ ἐπουράνιος ἡ διὰ τῶν Ζώντων λίθων συνῳκισμένη, Ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός, μία γένους σεμνότης, ἡ πρὸς τὸν θεὸν ἀγχιστεία, οὐ κατὰ τὸ αὐτόματόν τινι γινομένη κατὰ τὴν ἐν τῷ κόσμῳ εὐγένειαν ἢ καὶ ἐπὶ τοὺς φαύλους πολλάκις διὰ τῆς αὐτομάτου ταύτης ἀκολουθίας ῥέουσα φέρεται, ἀλλ' ἣν οὐκ ἔστιν ἄλλως ἢ ἐκ προαιρέσεως κτήσασθαι. Ὅσοι γὰρ ἔλαβον αὐτόν, φησὶν ἡ θεία φωνή, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι. τῆς δὲ τοιαύτης εὐγενείας τί ἂν σεμνότερον γένοιτο; πάτρια δὲ τοῖς μὲν ἄλλοις ἅπασι μῦθοι καὶ πλάσματα καὶ δαιμόνων ἀπάταις συναναμεμιγμέναι τοῖς μυθικοῖς διηγήμασιν· τὰ δὲ ἡμέτερα πάτρια τῶν διηγουμένων οὐκ ἐπιδέεται. εἰς γὰρ τὸν οὐρανόν τις ἰδὼν καὶ τὰ ἐν αὐτῷ κάλλη καὶ πᾶσαν τὴν κτίσιν τῷ τῆς ψυχῆς ὀφθαλμῷ κατανοήσας, ὅσαπερ ἂν ἐν τούτοις θαύματα καταλαβεῖν ἐξισχύσῃ ταῦτα τῆς ἡμετέρας πατρίδος εὑρήσει τὰ διηγήματα, μᾶλλον δὲ οὐκ αὐτῆς τῆς πατρίδος, ἀλλὰ τῆς ἀποικίας, ἣν ἀπὸ τῆς ὑψηλοτέρας ζωῆς ἀποικισθέντες τὸν παρόντα κατειλήφαμεν κόσμον. εἰ δὲ ἡ ἀποικία τοιαύτη, λογίσασθαι χρή, τίς ἡ τῆς ἀποικίας μητρόπολις, τί τὸ ἐν ἐκείνῃ κάλλος, οἷα ἐν αὐτῇ τὰ βασίλεια, τίς ἡ μακαριότης τῶν ἐκείνην εἰληχότων τὴν οἴκησιν. εἰ γὰρ τὰ φαινόμενα

---

1 κατὰ τὸν κόσμον cf Eph 2,2 2sqq cf Greg Thaum or in Orig c 2 (p 4,4sqq Koetschau) 3 cf Men Rh περὶ ἐπιδεικτικῶν 215sqq (III 369,18sqq Spengel); Hermogenes progymn (VII (I 37,2sqq Waltz); Aphton progymn VIII (I 87,9sqq Waltz) 7 ζώντων λίθων I Petr 2,5 7-8 Hebr 11,10 12sq Joh 1,12 17sqq cf Aristot περὶ φιλοσοφίας ap Philo Leg all III 97-99 17 cf Greg Nyss ad prol in Cant VI 4,4

V^{c}SΛOEΩUX^{a} 1 τὸν om Ω 2 τι om E 3 εἶναι post δοκεῖ coll Ω γένος: lacuna in S δόξα καὶ γένος coll ΩUX^{a} καὶ γένος om V^{c}E καὶ δόξα om S 4 γε om V^{c}SEUX^{a}ν τε Λ 5 post τρόπαια add τε E πολέμων: τούτων V^{c} 9 τινι: τι V^{c} 10 συγγένειαν V^{c}SE ἐπὶ τοὺς: πρὸς ...ς (sic!) S φαύλως S 11 ἐκ in rasura O 12 φησὶν — θεοῦ (13) in S vix legi possunt ἡ θεία φωνὴ om E 13 γενέσθαι θεοῦ coll X^{a} 14 γένοιτο σεμνότερον coll V^{c}SΛ δὲ om E 15 ἀπάταις V^{c} συναναμεμιγμένα U συναναμιγνύμεναι X^{a} 17 κάλλη e κάλλει corr Λ κτῆσιν X^{a} 18 τούτοις: τοῖς τοιούτοις V^{c} αὐτῷ E 19 ἐξισχύσει V^{c}X^{a} 20 ἧς E 23 τί: ποῖον Ω οἷα: ποῖα Ω 24 εἰληφότων OX^{a}ν (sed cf 7,3)

κατὰ τὴν κτίσιν τοιαῦτα ὡς ὑπὲρ ἔπαινον εἶναι, τί χρὴ τὸ ὑπὲρ τοῦτο λογίσασθαι, ὃ μήτε ὀφθαλμῷ λαβεῖν δυνατόν ἐστι μήτε ἀκοῇ χωρῆσαι μήτε διανοίᾳ στοχάσασθαι; διὰ ταῦτα τῆς πνευματικῆς εὐφημίας ἀποκρίνει τοὺς κάτω λήρους ὁ θεῖος τῶν ἐγκωμίων νόμος, αἰσχρὸν εἶναι κρίνων τοὺς ἀπὸ τῶν τοιούτων ἐγνωσμένους διὰ τῶν κατὰ τὴν γῆν
897 M. τιμίων σεμνύνεσθαι. κοσμικὸς μὲν γάρ τις ἀνὴρ πρὸς τὴν ὑλικὴν εὐδαιμονίαν βλέπων ἐκ τῶν τοιούτων τοῖς ἀνθρώποις ἐρανιζέτω τὸν ἔπαινον· εἰ πατρίς τινι γέγονε βοσκημάτων εὔφορος εἰ γειτνιῶσα θάλασσα πλεονάζει δι' ἑαυτῆς τοῖς λαιμαργοῦσι τὰς ὕλας εἰ λίθων ἐπάλληλοι θέσεις τὰς κατασκευὰς καλλωπίζουσιν. ὁ δὲ πρὸς τὸν ἄνω βίον βλέπων, ᾧ κάλλος μέν ἐστιν ἡ τῆς ψυχῆς καθαρότης πλοῦτος δὲ ἡ ἀκτημοσύνη πατρὶς δὲ ἡ ἀρετὴ πόλις δὲ αὐτὰ τοῦ θεοῦ τὰ βασίλεια, ὄνειδος τὴν ἐν τοῖς γηΐνοις φιλοτιμίαν ποιήσεται. οὐκοῦν ἀποστάντες καὶ ἡμεῖς τῶν τοιούτων οὔτε τὴν πατρίδα τοῖς ἐπαίνοις τοῦ μεγάλου Γρηγορίου προσθήσομεν οὔτε προγόνους εἰς συμμαχίαν τῶν ἐγκωμίων παραληψόμεθα εἰδότες, ὅτι οὐδεὶς ἀληθής ἐστιν ἔπαινος ὃς ἂν μὴ τῶν ἐπαινουμένων ἴδιος ᾖ. ἴδιον δέ φαμεν ὃ διαμένει πάντως εἰς τὸ διηνεκὲς ἀναφαίρετον.

Ἐπεὶ οὖν πάντων χωριζόμενοι, πλούτου περιφανείας δόξης τιμῆς τρυφῆς ἀπολαύσεως συγγενῶν φίλων, μόνης τῆς κατὰ κακίαν ἢ ἀρετὴν διαθέσεως ἀχώριστοι μένομεν, μόνον κρίνωμεν μακάριστον τὸν ἐνάρετον. καί με μηδεὶς οἰέσθω τῷ μηδὲν ἔχειν σεμνὸν περὶ τῆς πατρίδος ἢ τῶν προγόνων τοῦ ἀνδρὸς διηγήσασθαι ἐν σχήματι τοῦ δοκεῖν ὑπερο-

---

2sq cf I Cor 2,9 4-6 cf Is 11,3; Joh 7,24; 8,15 6 κοσμικός cf ad 5,1 7 ἐρανιζέτω cf Men Rh περὶ ἐπιδεικτικῶν 214 (III 368,17 Spengel) 22 cf Greg Thaum or in Orig c 2 (p 4,8-15 Koetschau)

V^{c}SΛOEΩUX^a 1 τοσαῦτα V^c ἔπαινον: λόγον E λόγον καὶ κατάληψιν UX^a τί χρὴ ... λογίσασθαι: λογίσασθε S τὰ ὑπὲρ ταῦτα ... ἃ UX^a τὸ ὑπὲρ τοῦτο ... ἃ Ω 2 λογίζεσθαι X^a ἐστι om V^{c}SΛ χωρῆσαι τῇ ἀκοῇ coll OEv 3 μήτε: μὴ V^c ante διανοίᾳ add τῇ OEΩ ταῦτα E: τοιαῦτα V^c τοιταῦτα SΛ ταύτης OΩUX^{a}v post εὐφημίας add τῶν ἐγκωμιαζομένων OEv τῶν ἐγκωμιαζόντων Ω ἀποκλείει ΩUX^a 4 ἐγκωμιαζομένων SΛΩUX^a νόμος: ἔπαινος Ov 7 ἀποβλέπων Ov τοῖς ἀνθρώποις om Ω ἐρανίζεται Λ ἐρανίζει S 8 εὔφορος βοσκημάτων coll Ov 9 λαιμαργῶσι V^{c}SΛE 10 ὁ ... βλέπων ᾧ: τῷ ... βλέποντι E ἄνωθεν U 12 ante ὄνειδος add ὅθεν E 14 post τοιούτων add ἐπαίνων OU 15 εἰς om V^c post ἐγκωμίων add ἐκείνου E 16 ἐστιν ἀληθὴς ἔπαινος coll V^{c}SΛ ἔπαινός ἐστιν ἀληθὴς Ω ὃς: ὡς V^{c}X^a 17 ὃ: οὐ X^a 18 ἀναφέρετον V^{c}Λ (sed corr) 19 τιμῆς om E 20 συγγενείας V^c(-ίας)SΛ 21 μένωμεν V^{c}X^a μένοντες E κρίνωμεν: κρίνομεν V^{c}OEΩUX^{a}v τὸν: τὸ E 22 τῷ: τὸ Ω om V^{c}SΛUX^a post ἢ add περὶ S 23 ante ἐν add ἀλλ' V^{c}SΛΩUX^a τοῦ alt: τὸ ΛO om V^c περιορᾶν OEv

ρᾶν τῶν τοιούτων ὑπεκκλέπτειν τὸ ὄνειδος. τίς γὰρ οὐκ οἶδε τὴν ἐπωνυμίαν τοῦ πόντου τὴν παρὰ πάντων ἀνθρώπων κατ' ἐξαίρετον ἀνατεθεῖσαν τῷ ἔθνει, δι' ἧς τῶν ἐξ ἀρχῆς εἰληχότων τὸν χῶρον ἡ ἀρετὴ μαρτυρεῖται; μόνος γὰρ ἐξ ἁπάσης γῆς τε καὶ θαλάσσης οὗτος ὁ πόντος Εὔξεινος ὀνομάζεται εἴτε τὴν πρὸς τοὺς ἐπιδημοῦντας τῶν ξένων φιλοφροσύνην μαρτυροῦντος αὐτοῖς τοῦ ὀνόματος εἴτε ὅτι τοιοῦτος ὁ χῶρός ἐστιν ὡς μὴ μόνον τοῖς ἐγχωρίοις τε καὶ αὐτόχθοσιν, ἀλλὰ καὶ τοῖς ἁπανταχόθεν εἰς αὐτὸν φοιτῶσι τὰς πρὸς τὸ ζῆν παρασκευὰς ἀφθόνως χαρίζεσθαι. τοιαύτη γὰρ ἡ φύσις τῆς χώρας ὡς πάντων τῶν τε πρὸς τὴν ζωὴν ἀναγκαίων πάμφορος εἶναι καὶ μηδὲ τῶν παρ' ἑτέροις ἀγαθῶν ἀμοιρεῖν τῆς θαλάσσης αὐτοῖς ἴδια τὰ πανταχόθεν ποιούσης. τοιούτου δὲ ὄντος τοῦ ἔθνους παντός, ὡς ὅπερ ἄν τις αὐτοῦ μέρος ἐφ' ἑαυτοῦ κατασκέψηται, τῶν ἄλλων προτερεύειν οἴεσθαι, οὐδὲν δὲ ἧττον τῇ κοινῇ κρίσει τοῦ ἔθνους οἷόν τις κορυφὴ πάσης τῆς περιοικίδος τῶν ἄλλων ἡ τοῦ μεγάλου Γρηγορίου πόλις ἐστίν, ἣν βασιλεύς τις ἐπίσημος τῶν τὴν ἀρχὴν τοῖς Ῥωμαίοις κρατυναμένων Καῖσαρ τοὔνομα ἔρωτι καὶ πόθῳ τῆς χώρας ἄλοὺς ἐπὶ τῷ ἰδίῳ ὀνόματι καλεῖσθαι [τὴν πόλιν] ἠξίωσεν. ἀλλ' οὐδὲν ταῦτα πρὸς τὸν σκοπὸν τὸν ἡμέτερον, ὥστε διὰ τούτων οἴεσθαι σεμνότερον ἀποδεικνύειν τὸν μέγαν ἐν ἁγίοις ἐκεῖνον, εἰ καρποῖς βρίθει ἡ χώρα εἰ ἡ πόλις κατασκευαῖς κεκαλλώπισται εἰ τῇ γείτονι θαλάσσῃ τὰ πανταχόθεν πρὸς τὸ δοκοῦν κατ' ἐξουσίαν εἰσάγεται. ἀλλ' οὐδὲ τῶν προγόνων αὐτοῦ τῶν καθηγησαμένων τῆς κατὰ σάρκα γεννήσεως μνήμην ἐπὶ τοῦ παρόντος λόγου ποιήσομαι πλοῦτον καὶ φιλοτιμίας καὶ τὰς κοσμικὰς περιφανείας αὐτῶν διηγούμενος. τί γὰρ ταῦτα συντελέσει πρὸς ἔπαινον, τάφοι καὶ στῆλαι καὶ ἐπιγράμματα, καὶ τὰ νεκρὰ διηγήματα πρὸς τὸν τοῦ κόσμου παντὸς ἑαυτὸν

900 M.

V^{c}SΛOEΩUX^a 1 ὑποκλέπτειν SEΩUX^a 2 παρὰ om U κατ' om E 3 ἔθνη V^c τῶν: τὸν V^c τὸν: τῶν X^a 4 μεμαρτύρηται Λ μαρτυρεῖτε Ω θαλάττης V^{c}E 5 ἐνδημοῦντας Λ 6 αὐτῷ UX^a post εἴτε add καὶ Ev 7 ἐστιν ὁ χῶρος coll V^c 10 τε om V^{c}Ov πρὸς τὸ ζῆν E μηδὲν E μηδενὶ Λ μηδὲ[ν] v 11 post ἀμοιρεῖν add ὡς καὶ Ev θαλάττης OΩ ἁπανταχόθεν E 12 ὄντως V^c πάντως V^c ὅσωπερ V^{c}SΛΩ αὐτοῦ: om S ἐφ' ἑαυτοῦ E (sed ἐφ' ἑ del) μέρους O 13 πρωτερεύειν X^a οἰήσεται Ω δὲ om SO οὐδὲν δὲ: οὕτως οὐδὲν UX^a 14 κρίσει: χώρα (sed post ἔθνους coll) E οἷά O 15 ἐπίσημός τις S 16 κρατυνομένων ΛOEX^a(corr ex -ναμένων)v post ἔρωτι add οὖν Ω 17 τῆς χώρας om V^c post ὀνόματι add Νεοκαισαρείαν Ev τὴν πόλιν uncis seclusi 19 οἴεσθαι post σεμνότερον coll O ἀποδνύειν O (corr m rec) 20 ἡ ante χώρα om X^a 21 θαλάττῃ OEΩv τὰ post πανταχόθεν coll Ω 22 προκαθηγησαμένων Ev 23 γενέσεως SΛEΩUX^{a}v cf 10,12 παρόντος om V^{c}Ev ποιήσωμαι V^c πλούτου V^c πλούτους EUX^a 24 τὰς om U 25 συντελεῖ X^a συντελέσειε Ev 26 καὶ τὰ νεκρὰ διηγήματα om V^c παντὸς ante κόσμου coll Ω ἑαυτὸν post ὑπεράραντα (8,1) coll O

ὑπεράραντα, ἄλλως τε οὐδὲ δυνατόν ἐστιν εἰς κοινωνίαν τῆς εὐφημίας ἐκείνους ἄγειν ὧν τὴν συγγένειαν οὗτος τῆς κατὰ ψυχὴν ἀγχιστείας ἠρνήσατο; οἱ μὲν γὰρ ἐν τῇ πλάνῃ τῶν εἰδώλων ἐματαιώθησαν, ὁ δὲ πρὸς τὴν ἀλήθειαν ἀναβλέψας τῇ ἄνω συγγενείᾳ διὰ τῆς πίστεως ἑαυτὸν εἰσεποίησεν.

Ἀλλ' ὅπως μὲν ἢ ἀπὸ τίνων ἐγένετο ἢ τίνα τὸ κατ' ἀρχὰς ὤκησε πόλιν ὡς οὐδὲν ἡμῖν συντελοῦντα πρὸς τὴν προκειμένην παραλείψωμεν διήγησιν, ἀρχὴν δὲ ταύτην τῆς εὐφημίας ληψόμεθα, ἣν ἐκεῖνος τοῦ κατ' ἀρετὴν βίου πεποίηται. ἐπειδὴ γὰρ ἐν κομιδῇ νέῳ τῷ σώματι τῆς φυσικῆς κηδεμονίας ἔρημος ἦν τῶν γονέων τετελευτηκότων τὸν βίον, ὅτε ἀτελὴς ὑφ' ἡλικίας οὖσα τοῖς πολλοῖς ἡ διάνοια τῆς τοῦ καλοῦ κρίσεως ἁμαρτάνει, ἔδειξεν εὐθὺς παρὰ τὴν πρώτην, οἷος ἐν τῷ τελείῳ τῆς ἡλικίας γενήσεται, καὶ καθάπερ τὰ εὐγενῆ τῶν βλαστημάτων, ὅταν ἐκ πρώτης αὐξήσεως εἰς εὐθυτενεῖς ἀναδράμῃ τοὺς ὄρπηκας, προδείκνυσι τοῖς γεηπόνοις διὰ τῆς παρούσης ὥρας τὸ εἰς ὕστερον κάλλος, τὸν αὐτὸν τρόπον κἀκεῖνος, ὅτε τοῖς ἄλλοις ὑπ' ἀγνοίας περισφαλής ἐστιν ἡ ψυχὴ πρὸς τὰ μάταιά τε καὶ ἀνόνητα κατολισθαινούσης προχείρως ὡς τὰ πολλὰ τῆς νεότητος, τότε διὰ τῆς πρώτης τοῦ βίου αἱρέσεως ἔδειξεν ἐφ' ἑαυτοῦ τὸν Δαβὶδ ἀληθεύοντα ὅτι Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. μόνον γὰρ δὴ τοῦτο τὸ δένδρον τελείῳ τῷ πάχει τῆς κορυφῆς ἀπὸ τῆς γῆς ἀναφύεται καὶ τῆς κατὰ τὸ μῆκος ἐπιδιδούσης αὐξήσεως οὐδεμίαν ἐπὶ τὸ πλάτος προσθήκην ἀπὸ τοῦ χρόνου δέχεται. οὕτω κἀκεῖνος ἀπὸ τῆς πρώτης ἤνθησε βλάστης εὐθὺς τῇ αἱρέσει τοῦ βίου τέλειος ἀνάσχων καὶ ὑψίκομος. πάντων γὰρ ἀποστὰς περὶ ἃ τὸ νέον τῆς ἡλικίας ἐπτόηται, ἱππικῆς κυνηγιῶν καλλωπισμῶν ἐνδυμάτων κυβείας

6sqq cf Men Rh περὶ ἐπιδεικτικῶν 221 (III 372,14sqq Spengel) 9sqq cf Men Rh περὶ ἐπιδεικτικῶν 219sq (III 371,14sqq Spengel) 19 Ps 91,13

V^{c}SΛOEΩUX^{a} 1 ἄλλως τε οὔτε Λ ἄλλως δὲ οὐδὲ OΩ ἄλλως δὲ οὔτε Ev 2 ἄγειν ante ἐκείνους coll Ω 5 εἰσεποίεισαν X^{a} 6 τίνος OE 7 παραλείφομεν E παραλείπομεν ν παραλίπωμεν U καταλείπωμεν V^{c} καταλείπομεν S καταλείφομεν Λ ἀπολείπομεν corr m rec e παραλ- O 8 διήγησιν: ante παραλείφωμεν coll Ω σπουδὴν (ante παραλείψωμεν coll) OEv ταύτην: ταύτης S om E 9 πεποίητο E ante κομιδῇ add πάνυ V^{c} 10 τετελεηκότων V^{c}Λ 12 τέλει V^{c}EΩUX^{a} 13 γεννήσεται V^{c} 14 εὐθυγενεῖς V^{c}ν ἰθυτενεῖς Λ ἀναδράμῃ: post ὄρπηκας coll Ω ἀναδράμει O τοὺς om Ω προδεικνύει Ω 15 γηπόνοις V^{c}ΛEUX^{a} ἐς S 16 ἀνοίας S περισφαλῆ X^{a} 17 ἀνόητα E κατολισθαίνουσι V^{c} 18 post πρώτης add εὐθὺς E 19 ἑαυτῷ UX^{a} ἐξανθήσει Ev 20 δὴ om V^{c}X^{a} τῶν δένδρων EΩ(sed ante δένδρων add λοιπῶν)v 21 κατὰ: πρὸς V^{c} 22 προσθήκην post χρόνου coll Λ post οὕτω add δὴ SΛ δεῖ Ω 23 τέλειον U 24 ἃ om E 25 ἐπτόηται om E ἐπτώηται X^{a} κυνηγεσίων ΛOEΩUX^{a}v καλλωπισμάτων Ov

τρυφῆς, εὐθὺς ὅλος τῆς τῶν ἀρετῶν κτήσεως ἦν τὸ πρόσφορον ἀεὶ τῇ παρούσῃ αὐτῷ ἡλικίᾳ καθεξῆς προαιρούμενος.

Γίνεται δὲ αὐτῷ πρώτη τῆς κτήσεως τῶν ἀρετῶν ἡ περὶ τὴν σοφίαν σπουδή. ταύτῃ δὲ συνείπετο καθάπερ τις πῶλος συνεζευγμένη ἡ σωφροσύνη. πρὸς ἀμφότερα δὲ σύμμαχος ἦν ἡ ἐγκράτεια. τὸ δὲ ἄτυφον αὐτῷ καὶ ἀόργητον τῇ τῶν χρημάτων ὑπεροψίᾳ συγκατωρθώθη. οὐ γὰρ ἔστιν ἄλλη τύφου τε καὶ ὑπερηφανίας γένεσις μὴ τῆς πλεονεξίας ἑαυτῇ τὰ τοιαῦτα πάθη συνεισαγούσης. καθάπερ δὲ τὸν πατριάρχην Ἀβραὰμ 901 M. ὁ λόγος κατέχει τῆς Χαλδαϊκῆς φιλοσοφίας ἐν ἐπιστήμῃ γενόμενον καὶ τὴν ἐναρμόνιόν τε καὶ τεταγμένην τῶν ἄστρων κατανοήσαντα θέσιν τε καὶ κίνησιν ὑποβάθρᾳ χρήσασθαι τῇ περὶ ταῦτα γνώσει πρὸς τὴν τοῦ ὑπερκειμένου ἀγαθοῦ θεωρίαν λογισάμενον, εἰ τὰ τῇ αἰσθήσει ληπτὰ τοιαῦτα, τί ἂν εἴη τὰ ὑπὲρ αἴσθησιν, καὶ οὕτω τοῦ ζητουμένου τυχεῖν οἷον ἐπιβάντα τῆς ἔξω σοφίας καὶ γενόμενον δι' αὐτῆς ὑψηλότερον, ὥστε προσεγγίσαι τρόπον τινὰ δι' αὐτῆς τοῖς ἀλήπτοις, οὕτω καὶ ὁ μέγας οὗτος τῇ ἔξω φιλοσοφίᾳ δι' ἐπιμελείας καθομιλήσας δι' ὧν ὁ Ἑλληνισμὸς τοῖς πολλοῖς βεβαιοῦται, διὰ τούτων ὡδηγήθη πρὸς τὴν τοῦ Χριστιανισμοῦ κατανόησιν, καὶ καταλιπὼν τὴν πεπλανημένην τῶν πατέρων θρησκείαν ἐζήτει τὴν τῶν ὄντων ἀλήθειαν ἐξ αὐτῶν τῶν πεπονημένων τοῖς ἔξωθεν διδαχθεὶς τὸ τῶν Ἑλληνικῶν δογμάτων ἀσύστατον. ἐπειδὴ γὰρ εἶδεν πρὸς διαφόρους ὑπολήψεις ἐν ταῖς περὶ τοῦ θείου δόξαις σχιζομένην τὴν φιλοσοφίαν ὁμοίως τὴν Ἑλληνικὴν καὶ τὴν βάρβαρον καὶ τοὺς τῶν δογμάτων προεστηκότας οὔτε πρὸς ἀλλήλους συμβαίνοντας καὶ τὸ καθ' ἑαυτὸν ἕκαστον κρατύνειν τῇ περινοίᾳ τῶν λόγων φιλονεικοῦντας, τούτους μὲν ὥσπερ ἐν ἐμφυλίῳ πολέμῳ ὑπ' ἀλλήλων ἀνατρεπομένους κατέλιπεν, καταλαμβάνει δὲ τὸν ἑστῶτα λόγον τῆς πίστεως τὸν οὐδεμίᾳ λογικῇ τινι περιεργίᾳ καὶ τεχνικαῖς πλοκαῖς κρατυνόμενον, ἀλλὰ δι' ἁπλότητος ῥημάτων ὁμοτίμως πᾶσι

8sqq cf Philo de migr Abrahami 176sqq 11 ὑποβάθρᾳ cf Plato Conv 211c 15sqq cf Greg Thaum or in Orig c 5 (p 10sqq Koetschau) 21sqq cf Greg Thaum or in Orig c 14 (p 30sqq Koetschau); Sext Emp hyp I 164sq

V^{c}SΛOEΩUX^{a} 1 ὅλως V^{c}ΩX^{a} κτίσεως V^{c} 1-2 τῆς παρούσης ... ἡλικίας ΛOv 3 κτίσεως V^{c} 4 post δὲ add αὖ Λ συνήπτετο V^{c} συνείπετο post συνεζευγμένη coll Ω συνεζευγμένος EUX^{a} 7 ὑπερηφανείας Λ(corr in -ίας)X^{a} γέννησις E 8 δὲ: γὰρ V^{c}Λ om E 9 σοφίας Ω γενάμενον V^{c} 10 τῶν ἄστρων om X^{a} σύνθεσιν Λ θέσιν ante κατανοήσαντα coll V^{c} 12 ὑποκειμένου Ω X^{a} ante εἰ add ὅτι V^{c}SΛO ὡς v 13 ante τοιαῦτα add τὰ E τί: τίνων S οὕτως Ov 14 δι' αὐτῆς om Λ 16 οὕτως V^{c} 17 καθωδηγήθη V^{c}SΛΩ 19 τῶν ὄντων: ὄντως Λ 21 ἐπειδὴ: — δῃ del S οἶδε Λ τοῦ om Ω θεοῦ Ω 22 τὴν Ἑλληνικὴν καὶ βάρβαρον ὁμοίως φιλοσοφίαν Ov 25 ἐν om V^{c}EX^{a} 26 κατέλειπεν V^{c} 28 κρατυνομένων (ante καὶ [27] coll) V^{c}Λ

καταγγελλόμενον, ὃς ἐν αὐτῷ τῷ ὑπὲρ τὴν γνῶσιν εἶναι τὸ πιστὸν ἔχει. εἰ γὰρ τοιοῦτον ἦν τὸ λεγόμενον ὡς τῇ τῶν ἀνθρωπίνων λογισμῶν δυνάμει καταλαμβάνεσθαι, οὐδὲν ἂν τῆς Ἑλληνικῆς σοφίας διήνεγκε. κἀκεῖνοι γὰρ ὅπερ ἂν καταλαβεῖν ἐξισχύσωσιν, ἐκεῖνο καὶ εἶναι δοξάζουσιν. ἐπεὶ δὲ ἀνεπίβατός ἐστι λογισμοῖς ἀνθρωπίνοις τῆς ὑπερκειμένης φύσεως ἡ κατάληψις, τούτου χάριν ἡ πίστις ἀντὶ λογισμῶν γίνεται τοῖς ὑπὲρ λόγον τε καὶ κατάληψιν ἑαυτὴν ἐπεκτείνουσα. διὰ ταῦτα καθὼς περὶ τοῦ Μωϋσέως φησὶν ἡ γραφὴ ὅτι Ἐπαιδεύθη πάσῃ σοφίᾳ Αἰγυπτίων, οὕτω καὶ ὁ μέγας οὗτος διὰ πάσης ἐλθὼν τῆς τῶν Ἑλλήνων παιδεύσεως καὶ γνοὺς τῇ πείρᾳ τῶν παρ' αὐτοῖς δογμάτων τὸ ἀσθενὲς καὶ ἀσύστατον μαθητὴς τοῦ εὐαγγελίου καθίσταται, καὶ πρὶν ἀχθῆναι διὰ τῆς μυστικῆς καὶ ἀσωμάτου γεννήσεως οὕτω κατώρθου τὸν βίον ὡς μηδένα ῥυπὸν ἐξ ἁμαρτίας ἐπὶ τὸ λουτρὸν εἰσενέγκασθαι.

Οὔσης δὲ αὐτῷ τῆς διαγωγῆς ἐν Αἰγύπτῳ κατὰ τὴν Ἀλεξάνδρου πόλιν, εἰς ἣν καὶ ἡ πανταχόθεν συνέρρει νεότης τῶν περὶ φιλοσοφίαν τε καὶ ἰατρικὴν ἐσπουδακότων, χαλεπὸν ἦν τοῖς ὁμήλιξι θέαμα νέος ὑπὲρ τὴν πολιὰν τῇ σωφροσύνῃ κοσμούμενος. ὁ γὰρ τοῦ καθαρεύοντος ἔπαινος τῶν μολυνομένων ὄνειδος ἦν. ὡς ἂν οὖν ἀπολογία τις εἴη τοῖς ἀκολάστοις τὸ μὴ μόνους αὐτοὺς τοιούτους εἶναι δοκεῖν, ἐπίνοιά τις ἐξ ἐπιβουλῆς παρ' αὐτῶν ἐπεσκευάσθη τοῦ μῶμόν τινα τῷ βίῳ τοῦ μεγάλου προστρίψασθαι, καὶ προβάλλεται παρ' αὐτῶν εἰς διαβολὴν ἐκείνου
904 M. γύναιον ἑταιρικὸν ἐξ οἰκήματος ἐπὶ ἀτιμίᾳ κατεγνωσμένον. τοῦ δὲ κατὰ τὸ σύνηθες τοῖς λογάσι τῶν ἀνδρῶν ἐν σεμνῷ τῷ σχήματι περί τινος τῶν κατὰ φιλοσοφίαν συνδιασκοποῦντος πρόσεισι τὸ γύναιον ἀκκιζόμενόν τε καὶ θρυπτόμενον καὶ διὰ πάντων τὸ εἶναι πρὸς αὐτὸν ἐν συνηθείᾳ [δι' ὧν ἐφθέγγετό τε καὶ ἐποίει] σχηματιζόμενον. εἶτα ἔλεγε τῶν

---

1 cf Eph 3,19 8-9 Act 7,22; cf Philo Vita Moys I 21 11sq cf Joh 3,3sqq 19sqq cf Syr c 11

V^{c}SΛOEΩUX^a 1 τῷ: τὸ OΩ τὴν om Λ γνῶσιν: πίστιν V^{c}SΛOEΩX^{a}v πιστὸν: πλήστον V^c 3 καταλαμβάνεσθαι ante λογισμῶν (2) coll O 4 ἐκεῖνοι X^a δοξάζωσιν V^c 6 post ἀντὶ add τῶν O (corr e τω) EUX^{a}v 7 ὑπεκτείνουσα Λ 8 καθὼς om E φησὶν ante περὶ coll E 9 ante Αἰγυπτίων add τῶν EUv 10-11 τὸ ἀσθενὲς καὶ ἀσύμφωνον καὶ ἀσύστατον S τὸ ἀσύστατον καὶ ἀσύμφωνον καὶ ἀσθενὲς (sed ante τῶν coll) V^{c}Λ 12 ἀσωμάτου τε καὶ μυστικῆς V^{c}SΛ γενήσεως ΩX^a ἀναγεννήσεως V^{c}S οὕτως v 13 ἐξ: τῆς Ov. 14 ante Ἀλεξάνδρου add μεγάλην τοῦ EΩUX^{a}v 15 ἡ corr m rec ex ὁ ut vid X^a 16 πρακτικὴν U 17 πολιὰν: ἡλικίαν Ov τῇ: ἐν EΩU 19 τὸ: τί X^a μόνον V^c τοιούτους post δοκεῖν coll Ov 21 προστρίψαι V^{c}Λ προσβάλλεται X^a προβάλλεται post αὐτῶν coll O 22-23 κατὰ τὸ σύνηθες post ἀνδρῶν coll U 24 διασκοποῦντος Λ (sed συν sscr) X^a διασκοπουμένου E συνασκουμένου O διασκοπουμένου καὶ συνασκουμένου v λυγιζόμενον V^c 25 τε om O τὸ: τω X^a 26 δι' — ἐποίει seclusi

μισθωμάτων ἀποστερεῖσθαι προστιθεῖσα καὶ τὰς ἀφορμὰς ὑπ' ἀναιδείας ὑπὲρ ὧν ἠτιᾶτο τὴν τῶν μισθῶν ἀποστέρησιν. τῶν δὲ συνεγνωκότων αὐτῷ τὸν βίον ἀγανακτούντων τε καὶ ὀργῇ κατὰ τοῦ γυναίου συγκινουμένων οὔτε συνεταράχθη τοῖς ὑπὲρ αὐτοῦ χαλεπαίνουσιν οὔτε τι τοιοῦτον εἶπε συκοφαντούμενος οἷον εἰκὸς τὸν ἀχθόμενον, οὐ μάρτυρας τοῦ βίου προσεκαλέσατο οὐχ ὅρκῳ τὸν μῶμον ἀπώσατο οὐ τὴν κακίαν τῶν ταῦτα κατ' αὐτοῦ συσκευασαμένων διήλεγξεν, ἀλλ' ἐν ἠρεμαίᾳ τε καὶ καθεστώσῃ φωνῇ πρός τινα τῶν συνήθων ἀποστραφεὶς ,,οὗτος'', ἔφη, ,,διάλυσον αὐτῇ τὸ ἀργύριον, ὡς ἂν μὴ ἐπὶ πλεῖον διοχλοῦσα τὴν προκειμένην τοῦ λόγου σπουδὴν ἐπιταράσσοι''. ἐπεὶ δὲ μαθὼν παρὰ τῆς ἑταιρίδος ὁ τοῦτο προστεταγμένος, ὅσον ἦτει παρ' αὐτοῦ τὸ ἀργύριον, ἑτοίμως ἅπαν ἀπηριθμήσατο καὶ πέρας εἶχε κατὰ τοῦ σώφρονος ἡ ἐπιβουλὴ τοῖς ἀκολάστοις καὶ ἦν ἐν ταῖς χερσὶν ἤδη τῆς ἀτίμου τὸ κέρδος, τότε γίνεται θεόθεν ἥ τε μαρτυρία τῆς σωφροσύνης τοῦ νέου καὶ τῆς τῶν ὁμηλίκων συκοφαντίας ὁ ἔλεγχος. ὁμοῦ γὰρ τῷ ὑποδέξασθαι τῇ χειρὶ τὸ ἀργύριον πνεύματι δαιμονίῳ στρεβλωθεῖσα καὶ βρυχηθμῷ θηριώδει παρὰ τὴν ἀνθρωπίνην φωνὴν ἀνοιμώξασα πίπτει πρηνὴς κατὰ τὸ μέσον τῶν συνειλεγμένων θέαμα φρικτὸν τε καὶ φοβερὸν τοῖς παροῦσιν ἀθρόως γεγενημένη τῶν τριχῶν τε διερριμμένων καὶ ταῖς ἰδίαις χερσὶ σπαρασσομένων καὶ τῶν ὀφθαλμῶν ἀνεστραμμένων καὶ τοῦ στόματος τὸν ἀφρὸν παραπτύοντος. καὶ οὐ πρότερον ἀνῆκε κατάπνιγον αὐτὴν τὸ δαιμόνιον πρὶν ἢ τὸν μέγαν ἐκεῖνον ἐπικαλέσασθαι τὸν θεὸν καὶ ὑπὲρ αὐτῆς ἱλεώσασθαι.

Τοιαῦτα τῆς νεότητος τοῦ μεγάλου τὰ διηγήματα ἄξια τῶν μετὰ ταῦτα βεβιωμένων αὐτῷ τὰ προοίμια. καίτοι γε τὸ θαῦμα τοσοῦτόν ἐστιν ὡς, εἰ καὶ μηδὲν ἦν ἕτερον ἐπὶ τούτοις εἰπεῖν, μηδενὸς αὐτὸν τῶν ἐπ' ἀρετῇ διενεγκότων ἐκ τούτου μόνου τὰ δευτερεῖα τῶν ἐπαίνων ἔχειν· πλούσιος νέος ἐν ὑπερορίοις διάγων ἐν πολυανδρούσῃ πόλει τὴν διαγωγὴν ἔχων, ἐν ᾗ διὰ τὸ κατ' ἐξουσίαν ταῖς ἡδοναῖς συζῆν τοὺς

V^{c}SΛOEΩUX^a 1 ἀπεστερῆσθαι ΛX^a προστεθεῖσα X^a 2 ἀποστέρησιν corr ex ὑποστ- ut vid Λ 3 ante βίον add καθαρὸν v 4 οὔτε — χαλεπαίνουσιν om V^c ante τοῖς add οὗτος Λ 5 οὐκ E 7 συσκευαζομένων SΛ ἐν om UX^a 8 ante φωνῇ add τῇ V^{c}Ω ἐπιστραφεὶς S στραφεὶς E ᾧ οὗτος Ov οὗτως V^{c}SEΩUX^a 9 ἐπὶ om EUX^a διὰ v διενοχλοῦσα O (εν sscr m rec) ΩUX^a 11 τὸ om E 12 ἀπηριθμήσατο: η prius in rasura O 13 τῶν ἀκολάστων ΩUX^a 14 post τότε add δὴ v 15 τῷ: τὸ V^{c}Ω 16 δαιμονιώδει Λ 18 τε om E 19 διερρημένων V^c διερρηγμένων ΛUX^a διεριμμένων E καὶ — σπαρασσομένων (20) om E 20 ταρασσομένων V^c ἀπεστραμμένων EΩv 21 ἀποπτύοντος SΛΩ καὶ om Ω 22 ἢ om V^{c}SΛE ante τὸν pr add αὐτὸν V^{c}Λ ἐκεῖνον τὸν μέγαν coll Λ 24 post μεγάλου add Γρηγορίου Ω ante ἄξια add ὡς ἀληθῶς UX^a post ἄξια EΩv 25 αὐτῷ: αὐτὰ X^a 26 αὐτὸν: αὐτῶν V^{c}Λ ἂν EΩ om SUX^a 27 ἐπ': ἐν Λ τὰ: τῷ X^a 28 ὑπερορίᾳ S ὑπερόριος E ἐν et διάγων om E

νέους ὄνειδος ἦν ἡ καθαρότης τοῖς μὴ σωφρονοῦσι, οὐ μητρὸς πολυ-
905 M. πραγμονούσης τὸν βίον οὐ πατρὸς παιδαγωγοῦντος τὴν καθ' ἡμέραν
ζωὴν εἰς τοσοῦτον ἐπῆρεν ἑαυτὸν δι' ἀπαθείας πρὸς ἀρετήν, ὡς τὸν τοῦ
παντὸς ἔφορον μάρτυρα τῶν βεβιωμένων ποιήσασθαι τὸν τῇ πονηρᾷ
πληγῇ τὴν συκοφαντίαν τῆς γυναικὸς ἀπελέγξαντα. τί ἄν τις ἐπινοήσειε
μεῖζον εἰς ἐγκωμίων ὑπόθεσιν; πῶς δ' ἄν τις αὐτὸν τοῦτον κατ' ἀξίαν
θαυμάσειεν; ὃς τῷ λόγῳ καταπαλαίσας τὴν φύσιν καὶ καθάπερ τι τῶν
ὑποχειρίων ζῴων ὑποζεύξας τῷ λογισμῷ τὴν νεότητα καὶ πάντων τῶν
ἐπεγειρομένων φυσικῶν παθημάτων κρείττων γενόμενος καὶ τὸν πᾶσι
τοῖς καλοῖς ἐπιφυόμενον φθόνον καθ' ἑαυτοῦ κινήσας καὶ τούτου κρείτ-
των ἐγένετο μήτε πρὸς τὴν ἐπιβολὴν τῶν ἑταίρων ἑαυτὸν διαναστήσας
πρὸς ἄμυναν καὶ τὴν ὑπηρετησαμένην ἐκείνοις πρὸς τὸν μῶμον εὐεργε-
τήσας τοῦ κατὰ τὸν δαίμονα πάθους διὰ προσευχῆς ἐξελόμενος; τοιοῦ-
τον ἔγνωμεν διὰ τῆς ἱστορίας τὸν Ἰωσήφ, ᾧ προΰκειτο μὲν κατ'
ἐξουσίαν ἡ περὶ τὴν γυναῖκα τοῦ δεσπότου παρανομία αὐτῆς ἐκείνης
ἐπιμανείσης τῇ ὥρᾳ τοῦ νέου καὶ μάρτυς τῶν τολμωμένων ἦν ἀνθρώ-
πων οὐδείς. ἀλλὰ κἀκεῖνος πρὸς τὸν θεῖον ὀφθαλμὸν βλέπων τὸ δόξαι
κακὸς εἶναι πρὸ τοῦ γενέσθαι προείλετο τὰ τῶν κακούργων ὑποστὰς
μᾶλλον ἢ κακοῦργος γενόμενος. ἀλλ' ἔστι τι τάχα τούτῳ καὶ πλέον τῆς
ἱστορίας καυχήσασθαι· οὐ γὰρ ἴσον ἐστὶν εἰς ἀποτροπὴν τοῦ μιάσματος
τό τε τῆς μοιχείας ἄγος καὶ τὸ δοκοῦν ἐν ἐλάττονι πλημμελήματι τὸν
μῶμον ἔχειν. ὁ τοίνυν ἐν ᾧ κίνδυνός τις ἐκ τῶν νόμων οὐκ ἦν, φοβερω-
τέραν μᾶλλον τῆς τιμωρίας αὐτὴν τὴν ἐξ ἁμαρτίας ἡδονὴν καθ' ἑαυτὴν

7sq cf Plato Phaedr 253c sqq; Resp 439d sqq 13sqq cf Gen 39,7sqq; Men Rh περὶ ἐπιδεικτικῶν 221 (III 372,21sqq Spengel); Arist Rhet 1368 a 21

V^{c}SΛOEΩUX^a Arethas (13 τοιοῦτον — 13,2 κριθήσεται) 1 τῶν σωφρονούντων E τοῖς ἄφροσιν V^c τῶν σωφρονούντων τοῖς ἄφροσιν v οὐ: μὴ V^{c}SΛ 2 καθημερινὴν ΩUX^a 3 ἑαυτὸν ἐπῆρεν Ω 4 τὸν om V^{c}SΛ 5 ἀπελέξαντα X^a ante τί add καὶ OUX^{a}v τί: τίνα SΛ 6 μειζόνων ἐγκωμίων V^{c}Λ ἐγκωμίων μειζόνων S αὐτὸν post ἀξίαν coll Ov om Ω τοῦτον: τοῦτο E om Ov 7 καὶ om X^a 9 ἐπανισταμένων V^{c}Λ φυσικῶν ante ἐπεγειρομένων coll OE (sed φυσικῶς) v κρείττον (sic) V^c 11 ἑτέρων X^a 12 πρὸς pr: εἰς V^{c}Λ 16 τῇ ὥρᾳ τοῦ νέου: τῷ νέῳ V^{c}SΛ καὶ: ᾧ SΛ ὃ V^c ὧν UX^a τολμημένων X^a τετολμημένων S ἦν ante οὐδεὶς coll Arethas om V^{c}SUX^a 17 ἀλλὰ — βλέπων: θεῖον γὰρ ὀφθαλμὸν τῶν γινομένων ἔφορον εἶχεν UX^a (ἔχων) ὀφθαλμῶν V^c 18 εἶναι om E (adscr in mg) v post γενέσθαι add γενόμενος E sed expunx 19 post γενόμενος add θεῖον γὰρ ὀφθαλμὸν εἶχεν ἔφορον τῶν γινομένων E γενάμενος V^c τι om E post πλέον coll Arethas τούτῳ: τοῦτο V^c τοῦτον Arethas, ante τάχα coll E om SΩUX^a καὶ πλέον ante τάχα coll Ω 20 post ἱστορίας add ἐκείνης ΩUX^a Arethas, post καυχήσασθαι add E ἀποστροφὴν V^c 21 δοκεῖν U ἐν om U 22 νόμων: μώμων V^{c}S 23 αὐτὴν: αὐτῶν X^a τὴν om v ἐξ: τῆς Arethas

εἶναι κρίνας ἢ παρήλασε τὸν Ἰωσὴφ τῇ μεγαλοφυΐᾳ τοῦ θαύματος ἢ πάντως οὐκ ἐν δευτέροις κριθήσεται. ἀλλὰ τὸ μὲν προοίμιον τοῦ βίου τοιοῦτον. αὐτὸς δὲ ὁ βίος οἷος;

Ἐπειδὴ πᾶσαν παίδευσιν τῆς ἔξω σοφίας ἐπιδραμὼν ἐνέτυχε Φιρμιλιανῷ τινι τῶν εὐπατριδῶν Καππαδόκῃ ὁμοιοτρόπῳ κατὰ τὸ ἦθος, ὡς ἔδειξεν ἐκεῖνος τῷ μετὰ ταῦτα βίῳ κόσμος τῆς ἐκκλησίας τῶν Καισαρέων γενόμενος, καὶ τόν τε σκοπὸν τοῦ ἰδίου βίου φανερὸν τῷ φίλῳ ἐποίησεν ὡς εἴη πρὸς τὸν θεὸν βλέπων καὶ τὴν ἐκείνου σπουδὴν ἔγνω περὶ τὴν αὐτὴν ἐπιθυμίαν συμβαίνουσαν, καταλιπὼν πᾶσαν τὴν περὶ τὴν ἔξω φιλοσοφίαν σπουδὴν προσφοιτᾷ μετ' ἐκείνου τῷ κατὰ τὸν χρόνον ἐκεῖνον τῆς τῶν Χριστιανῶν φιλοσοφίας καθηγουμένῳ — Ὠριγένης δὲ οὗτος ἦν, οὗ πολὺς ἐπὶ τοῖς συγγράμμασι λόγος — δεικνὺς καὶ διὰ τούτου οὐ μόνον τὸ φιλομαθὲς καὶ φιλόπονον, ἀλλὰ καὶ τὸ κατεσταλμένον ἐν τῷ ἤθει καὶ μέτριον. τοσαύτης γὰρ σοφίας ἀνάπλεως ὢν ἑτέρῳ χρήσασθαι διδασκάλῳ πρὸς τὰ θεῖα τῶν μαθημάτων οὐκ ἀπηξίωσεν. καὶ διαγαγὼν παρὰ τῷ διδασκάλῳ χρόνον τοῖς μαθήμασι σύμμετρον πολλῶν ὄντων τῶν παρακατεχόντων αὐτὸν ἐπὶ τῆς ἀλλοδαπῆς καὶ παρ' αὐτοῖς ἀξιούντων μένειν πάντων προτιμοτέραν τὴν ἐνεγκοῦσαν αὐτὸν ποιησάμενος ἐπὶ τὴν πατρίδα πάλιν ἐπάνεισι τὸν παντοδαπὸν πλοῦτον τῆς σοφίας τε καὶ τῆς γνώσεως ἐπαγόμενος, ὃν καθάπερ τις ἔμπορος ἐν ταῖς ἔξω σπουδαῖς πᾶσι καθομιλῶν τοῖς εὐδοκίμοις ἐνεπορεύσατο. 908 M.

Καίτοι γε τῷ δικαίως τὰ πράγματα κρίνοντι οὐδὲ τοῦτο μικρὸν πάντως εἰς εὐφημίαν δόξει τὸ πόλεως τοσαύτης ἱκετηρίαν ἐκ κοινοῦ γινομένην ὑπεριδεῖν καὶ πάντων τῶν ἐν αὐτῇ λογάδων τὴν ὑπὲρ τοῦ καταμεῖναι τὸν ἄνδρα σπουδὴν τῶν τε ἐπιδημούντων αὐτοῖς ἀρχόντων τὴν εἰς αὐτὸ τοῦτο προθυμίαν μὴ παραδέξασθαι, οἷς πᾶσι σκοπὸς ἦν μεῖναι παρ' αὐτοῖς τὸν μέγαν ἐκεῖνον καθάπερ οἰκιστὴν ἀρετῆς καὶ βίου νομοθέτην ἐσόμενον· ἀλλὰ φεύγων πανταχόθεν τὰς πρὸς τῦφον ὕλας, εἰδὼς ἀρχηγὸν ὡς τὰ πολλὰ τοῦ κατὰ κακίαν βίου τὸ καθ' ὑπερηφανίαν

V^{c}SΛOEΩUX^{a} Arethas (1-2) 2 τοῦ βίου om X^{a} 3 οἷος: τίς OEv 4 ἐπεὶ δὲ V^{c}Λ ἔτυχεν V^{c} 5 Καππαδόκῃ om X^{a} κατὰ om Ω 6 τῶν: τῆς O 7 τε om OΩUX^{a} ἰδίου om E ante ἰδίου add φρονήματος καὶ v βίου: φρονήματος ΩUX^{a} φίλῳ: Φιρμιλιανῷ ΩUX^{a} (sscr m rec) O (γρ τῷ Φιρμιλιανῷ) 8 ἐποίησαν X^{a} (corr m rec) πεποίηκεν V^{c} ἐπέγνω Ω 9/10 περὶ τῆς ... φιλοσοφίας Ov 12 ante λόγος add ὁ X^{a} δείκνυται E 13 τοῦτων (sic) X^{a} τούτων U 14 ἐν om E post μέτριον add ἀσπάζεται E φιλοσοφίας V^{c}E ἀνάπλεος UX^{a}v 16 διάγων Ω ante τοῖς add ἐν X^{a} 17 παρακαλούντων καὶ κατεχόντων Ov αὐτῶν V^{c} 18 προτιμοτέραν πάντων coll S 20 παντοδαπῆ V^{c} 21 εὐδοκιμοῦσιν X^{a} 23 τῷ: τὸ V^{c}Ω 24 τοσαύτην Ov ἱκεσίαν U γενομένην ΛOΩv 25 ἐν αὐτῇ: αὐτῆς V^{c} (ς suppl m rec ut vid) SΛΩ 27 μὴ om Ev 29 post φεύγων add ἐκεῖνος ΛX^{a} 30 ante εἰδὼς add καὶ ΛX^{a}

πάθος γινόμενον, ὥσπερ τινὰ λιμένα τὸν ἡσύχιον ἐπὶ τῆς πατρίδος μέτεισι βίον. παντὸς δὲ τοῦ ἔθνους πρὸς τὸν ἄνδρα βλέποντος καὶ πάντων προσδεχομένων δημοσιεύειν αὐτὸν ἐν κοινοῖς συλλόγοις τὴν παίδευσιν, ὡς ἄν τινα καρπὸν σχοίη τῶν μακρῶν πόνων τὴν ἐπ' αὐτοῖς εὐδοκίμησιν, εἰδὼς ὁ μέγας ἐκεῖνος ὅθεν προσήκει τὴν ἀληθῆ φιλοσοφίαν παρὰ τῶν ἀκριβῶς μετιόντων δημοσιεύεσθαι, ὡς ἂν μήποτε φιλοτιμίᾳ τινὶ τὴν ψυχὴν τρωθείη — δεινὸς γάρ ἐστι τῶν ἀκουόντων ὁ ἔπαινος τύφῳ τινὶ καὶ φιλοδοξίᾳ τῆς ψυχῆς ὑποχαυνῶσαι τὸν τόνον —, τούτου χάριν ἐπίδειξιν ποιεῖται τὴν σιωπὴν ἔργῳ δεικνὺς τὸν ἐγκείμενον θησαυρὸν οὐχὶ ῥήμασι, καὶ τῶν κατ' ἀγορὰν θορύβων καὶ καθόλου τῆς ἐν ἄστει διαγωγῆς ἑαυτὸν χωρίσας ἐν ἐσχατιᾷ τινι μόνῳ συνῆν ἑαυτῷ καὶ δι' ἑαυτοῦ τῷ θεῷ, μικρὸν παντὸς τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ λόγον ποιούμενος οὐ βασιλείας πολυπραγμονῶν οὐκ ἀρχὰς ἐξετάζων οὐ πῶς διοικεῖταί τι τῶν κοινῶν διεξιόντος ἀκούων, ἀλλ' ὅπως ἂν ἡ ψυχὴ δι' ἀρετῆς τελειωθείη τὴν φροντίδα ποιούμενος, πρὸς τοῦτο τῇ σπουδῇ συνέτεινε πάντα τὸν βίον καὶ τὰ ἐν αὐτῷ πράγματα χαίρειν ἐάσας ἄλλος τις οὗτος ἐν τοῖς καθ' ἡμᾶς Μωϋσῆς ἀτεχνῶς πρὸς τὰ ἐκείνου θαύματα τὴν ἅμιλλαν ἔχων. ἐξῆλθον ἀμφότεροι τοῦ ταραχώδους τούτου καὶ περιηχημένου βίου, Μωϋσῆς καὶ Γρηγόριος, κατὰ τὸν ἴδιον ἑκάτερος χρόνον ἐφ' ἑαυτῶν ἰδιάσαντες, ἕως ἐμφανὲς ἐκ θεοφανείας ἀμφοτέροις ἐγένετο τοῦ καθαροῦ βίου τὸ κέρδος. ἀλλὰ Μωϋσῆ μὲν τῇ φιλοσοφίᾳ καὶ γαμετὴ συνεφείπετο, Γρηγόριος δὲ σύνοικον ἑαυτῷ μόνην τὴν ἀρετὴν ἐποιήσατο. τοῦ τοίνυν σκοποῦ τὸ ἴσον ἔχοντος ἐν ἀμφοτέροις — πέρας γὰρ τῶν ἀμφοτέρων τῆς τῶν πολλῶν ἀναχωρήσεως ἦν τὸ καθαρῷ τῷ τῆς ψυχῆς ὀφθαλμῷ κατανοῆσαι τὰ θεῖα

11 cf Greg Nyss Virg VIII 1 300,16sqq; Plotin Enn I 6,5,53 16sqq cf Basil de spir sanct 29 (Migne PG 32,205C) 17sqq cf Exod 3 21sq cf Exod 2,21

V^{c}SΛOEΩUX^{a} 1 γενόμενον E 3 αὐτὸν: ἑαυτοῦ X^{a} ante δημοσιεύειν coll E 4 ἐπ': ἐν U αὐτῆς X^{a} 5 ὅθεν: ὡς οὐ S σοφίαν UX^{a} 6 δημοσιεύσεσθαι Λ ποιήσασθαι UX^{a} 8 ὑποχαυνούσης E τὸ σύντονον OEv 10 ῥήσει V^{c} καὶ alt om V^{c}SΛΩ 11 ἐν ἄστει: κατὰ τὸ ἄστυ E 12 ἑαυτῷ ante μόνῳ (11) coll Ov ω eras V^{c} αὐτοῦ X^{a} 13 λόγων X^{a} βασιλέας X^{a} 15 τελειωθῆ E 16 συνετείνετο EUX^{a} τὸν post συνέτεινε coll Ov 17 post ἡμᾶς add γέγονε S χρόνοις OEUX^{a}v ἀτεχνῶς om V^{c}SΛ 19 περιηχουμένου Λ βίου ante τούτου coll V^{c} 20 ἑκάτεροι Λ ἑαυτὸν·SΛOv cf VII 1 Vit Moys 38,21 post ἕως add ἂν E 21 ἀμφοτέροις ἐκ θεοφανείας OEv ἑκατέροις ἐκ θεοφανείας UX^{a} Μωσῆ X^{a} Μωυσεῖ Ov Μωυσῆς V^{c}EΩU 22 κατὰ τῆς φιλοσοφίας Ov μετὰ τῆς φιλοσοφίας ΩUX^{a} μὲν — γαμετὴ: μὲν ὁ τῆς φιλοσοφίας συνόμιλος καὶ γαμετῇ E γαμετῆς U συνεφήπτετο V^{c} συνῆπτο Ω συνήπτετο U συνοικῶν Ω 24 τῶν ἀμφοτέρων: ἑκατέρῳ EΩU (ἑκαστέρῳ) X^{a} 25 τὸ: τῷ V^{c}ΛOEΩX^{a}v καθαρῷ τῷ Med Ambr D 92 sup: καθαροτάτῳ SΛEΩUX^{a} τῷ om V^{c}Ov

μυστήρια — κρίνειν ἔξεστι τῷ πρὸς ἀρετὴν βλέπειν ἐπισταμένῳ, ποτέρῳ τούτων μᾶλλον ὁ βίος δι' ἀπαθείας τετόνωτο, τῷ πρὸς τὴν νόμιμον καὶ συγκεχωρημένην καταβάντι τῶν ἡδονῶν μετουσίαν ἢ τῷ καὶ ταύτης ὑπεραρθέντι καὶ μηδεμίαν δεδωκότι καθ' ἑαυτοῦ πάροδον τῇ ὑλικῇ προσπαθείᾳ.

Φαιδίμου δὲ κατὰ τὸν χρόνον ἐκεῖνον τῆς Ἀμασέων ἐκκλησίας καθηγουμένου, ᾧ θεόθεν ἐξ ἁγίου πνεύματος προγνωστική τις δύναμις 909 M.
ἦν, καὶ πᾶσαν ποιουμένου σπουδήν, ὅπως ὑποχείριον λαβὼν τὸν μέγαν Γρηγόριον εἰς ἐκκλησίας ἀρχὴν ἀγάγοι, ὡς ἂν μὴ τοσοῦτον ἀγαθὸν ἀργόν τε καὶ ἀνόνητον παραδράμοι τὸν βίον, οὗτος τῆς ὁρμῆς τοῦ ἱερέως αἰσθόμενος λανθάνειν ἐμηχανᾶτο ἄλλοτε πρὸς ἄλλην ἐρημίαν μετανιστάμενος. ἐπεὶ δὲ πᾶσαν καθιεὶς πεῖραν ὁ πολὺς ἐκεῖνος Φαίδιμος καὶ πάσῃ μηχανῇ τε καὶ ἐπινοίᾳ χρώμενος οὐχ οἷός τε ἦν προσαγαγεῖν τῇ ἱερωσύνῃ τὸν ἄνδρα μυρίοις ὄμμασι τὸ μὴ ἁλῶναί ποτε τῇ χειρὶ τοῦ ἱερέως προφυλασσόμενον καὶ ἦν ἐφάμιλλος ἡ σπουδὴ ἀμφοτέροις τοῦ μὲν ἑλεῖν ἐπιθυμοῦντος τοῦ δὲ ἀποφυγεῖν τὸν διώκοντα — ὁ μὲν γὰρ ᾔδει τῷ θεῷ προσάξων ἱερὸν ἀνάθημα, ὁ δὲ ἐδεδοίκει μή τι γένηται αὐτῷ πρὸς φιλοσοφίαν ἐμπόδιον οἷόν τι φορτίον ἡ τῆς ἱερωσύνης φροντὶς ἐπαχθεῖσα τῷ βίῳ — τούτου χάριν ὁρμῇ τινι θειοτέρᾳ περὶ τὴν προκειμένην σπουδὴν ἐπαρθεὶς ὁ Φαίδιμος οὐδὲν προσχὼν τῷ μεταξὺ διαστήματι ὥπερ ἀπὸ τοῦ Γρηγορίου διείργετο τριῶν ἡμερῶν ὁδὸν ἐκείνου ἀπέχοντος, ἀλλὰ πρὸς τὸν θεὸν ἀναβλέψας καὶ εἰπὼν ὁμοίως ἑαυτόν τε κἀκεῖνον ἐπὶ τῆς ὥρας ἐκείνης ὑπὸ τοῦ θεοῦ καθορᾶσθαι ἀντὶ χειρὸς ἐπάγει τῷ Γρηγορίῳ τὸν λόγον ἀφιερώσας τῷ θεῷ τὸν σωματικῶς οὐ παρόντα καὶ ἀποκληρώσας αὐτῷ τὴν πόλιν ἐκείνην, ἣν συνέβη μέχρι τῶν τότε χρόνων οὕτω τῇ πλάνῃ τῶν εἰδώλων κατέχεσθαι, ὥστε

6sqq cf Syr c 2

V^{c}SΛOEΩUX^{a} 1 post ἀρετὴν add καλῶς Ov 2 ὁποτέρῳ Ov πότερον V^{c}S ποτέρων Ω τούτω V^{c} μᾶλλον τούτων coll S ὁ βίος: δὲ V^{c} τετόνωτο: γέγονε Ov 4 καὶ pr om S κατ' αὐτῆς Ov καθ' ἑαυτοῦ δεδωκότι coll V^{c}SΛ 6 'Αμασαίων Ov 7 καθηγουμένῳ X^{a} τις om E 9 ante τοσοῦτον add τὸ EΩX^{a} 10 παραδράμει V^{c} παραδράμῃ Ω τὸν βίον: τὸ βίαιον U ante οὗτος add μᾶλλον V^{c}SΛ οὗτος post τῆς ὁρμῆς coll OEv 11 ἄλλοθεν Λ 12 ἐπειδὴ ΛE 13 καὶ prius om Ω οἷόν Ω προσάγειν E 14 τῇ ἱερωσύνῃ προσαγαγεῖν Ω 15 ἡ om Ov ἀμφοτέροις ante ἐφάμιλλος coll E 16 ἑλεῖν: ἐλθεῖν V^{c} 17 ᾔδει: ἔσπευδε E προσάξειν SΛOEX^{a}v 18 φιλοσοφίας V^{c}SΛ 19 ἐπεισαχθεῖσα V^{c}SΛ 20 οὐδὲ Λ τῷ: τὸ X^{a} ante τῷ add ἐν V^{c} 21 ὥπερ: ὅπερ ΛΩX^{a} διείργετο: γ e correctura S διήρτητο E διήργετο V^{c} ὁδὸν ante τριῶν coll V^{c} 22 ἀλλ' ἢ UX^{a} 23 αὐτὸν E ἐπὶ — ἐκείνης post καθορᾶσθαι coll UX^{a} 24 τὸν θεὸν Ω 25 οὐ: μὴ ΩU 26 μέχρις O

ἀπείρων ὄντων τῶν οἰκούντων αὐτήν τε τὴν πόλιν καὶ τὴν περίοικον μὴ πλείους εὑρεθῆναι τῶν ἑπτακαίδεκα τοὺς παραδεδεγμένους τὸν λόγον τῆς πίστεως.

Οὕτω τοίνυν ὑπελθὼν τὸν ζυγὸν κατ' ἀνάγκην πάντων μετὰ ταῦτα τῶν νομίμων ἐπ' αὐτῷ τελεσθέντων καὶ βραχὺν χρόνον αἰτησάμενος παρὰ τοῦ τὴν ἱερωσύνην ἐπικηρύξαντος πρὸς κατανόησιν τῆς κατὰ τὸ μυστήριον ἀκριβείας οὐκέτι, καθώς φησιν ὁ ἀπόστολος, Σαρκὶ καὶ αἵματι προσανέχειν ᾤετο δεῖν, ἀλλὰ θεόθεν ἤτει γενέσθαι αὐτῷ τὴν τῶν κρυφίων φανέρωσιν καὶ οὐ πρότερον ἐπεθάρρησε τῷ τοῦ λόγου κηρύγματι πρὶν διά τινος ἐμφανείας ἐκκαλυφθῆναι αὐτῷ τὴν ἀλήθειαν. σκοπουμένῳ γὰρ αὐτῷ ποτε νύχιον περὶ τοῦ λόγου τῆς πίστεως καὶ παντοίους ἀνακινοῦντι λογισμούς — ἦσαν γὰρ δὴ καὶ τότε τινὲς οἱ τὴν εὐσεβῆ διδασκαλίαν παραχαράττοντες καὶ διὰ τῆς πιθανότητος τῶν ἐπιχειρημάτων ἀμφίβολον ποιοῦντες πολλάκις καὶ τοῖς συνετοῖς τὴν ἀλήθειαν — ὑπὲρ ἧς τότε διαγρυπνοῦντι αὐτῷ καὶ φροντίζοντι φαίνεταί τις καθ' ὕπαρ ἐν ἀνθρωπίνῳ τῷ σχήματι γηραλέος τὸ εἶδος ἱεροπρεπὴς τῇ καταστολῇ τοῦ ἐνδύματος πολλὴν ἐπισημαίνων τὴν ἀρετὴν τῇ περὶ
912 M. τὸ πρόσωπον χάριτι καὶ τῇ καταστάσει τοῦ σχήματος. τὸν δὲ καταπλαγέντα τὴν ὄψιν διαναστῆναί τε τῆς εὐνῆς καὶ ὅστις εἴη μαθεῖν καὶ ὑπὲρ τίνος ἥκοι. ἐκείνου δὲ καταστείλαντος αὐτοῦ τὴν ταραχὴν τῆς διανοίας ἐν ἠρεμαίᾳ φωνῇ καὶ εἰπόντος θείῳ προστάγματι πεφηνέναι αὐτῷ τῶν ἀμφισβητουμένων παρ' αὐτοῦ χάριν, ὡς ἂν ἐκκαλυφθείη τῆς εὐσεβοῦς πίστεως ἡ ἀλήθεια, θαρρῆσαί τε πρὸς τὸν λόγον καὶ βλέψαι πρὸς αὐτὸν μετά τινος χαρᾶς καὶ ἐκπλήξεως. εἶτα ἐκείνου κατ' εὐθὺ τὴν χεῖρα προτείναντος καὶ οἷον ὑποδεικνύντος αὐτῷ διὰ τῆς τῶν δακτύλων

---

2 cf Syr c 11; Basil de spir sanct 29 (Migne PG 32,205B) 7sq cf Gal 1,16 8sqq cf Syr c 3

V^{c}SΛOEΩUX^a 1 τὴν πόλιν om Λ 2 τῶν om E 4 ἐπελθὼν E post τὸν add τῆς ἱεροσύνης Ω post ἀνάγκην add ὁ μέγας Γρηγόριος Ω πάντα ταῦτα E postea sscr μετὰ 6 ἐπικυρώσαντος U 8 προσέχειν V^c 9 τῶν om O ἐπεθάρσησε SOEΩv 10 κηρύγματι ante τοῦ (9) coll UX^a ἐμφανείας τινὸς Ω ἀποκαλυφθῆναι UX^a 11 σκοπουμένου ... αὐτοῦ V^c ποτ' E νύχιον: παννύχιον SΩUX^a ἐννύχιον Ev malim νυχίῳ 12 τινες καὶ τότε coll UX^a 13 καὶ om EU 16 καθ' ὕπαρ Vind hist 5, Vat 866 aliiqui stirpis ℵ, e g Patm 235, Mon 179^2 ut v.l., v: ὕπαρ Vat 806 ὕπερ (sic) O καθάπερ EUX^a καθόπερ Ω κατ' ὄναρ V^{c}SΛ ἀνθρωπείνῳ X^a ἀνθρωπείῳ Λ τῷ om OΩ γηραιὸς UX^a γηραλέος ... ἐνδύματος (17): ἱεροπρεπὴς τὸ εἶδος τὴν καταστολὴν τοῦ ἐνδύματος γηραιὸς τὸ εἶδος (sed τὸ εἶδος prius expunx) E 17 τῇ alt e τὴν ut vid corr O 18 — p 17,23 cf praef p CXXVII 19 τῇ ὄψει Ev τε: μὲν Ev μαθεῖν: ἐπιζητεῖν X^a post μαθεῖν add ἐδεῖτο Ev 21 πεμφθῆναι αὐτὸν V^{c}SΛ 22 παρ' αὐτοῦ om V^c αὐτῷ UX^a ante τῆς add αὐτῷ E 23 θαρσῆσαι V^{c}SEΩv 25 προτείνοντος U ὑποδεικνύοντος UX^a ἐπιδεικνύντος E

εὐθείας τὸ ἐκ πλαγίου φαινόμενον συμπεριαγαγεῖν τοῦτον τῇ εὐθείᾳ τῆς χειρὸς τὸ ἴδιον βλέμμα καὶ ἰδεῖν ἀντιπρόσωπον τῷ ὀφθέντι ἕτερον θέαμα ἐν γυναικείῳ τῷ σχήματι κρεῖττον ἢ κατὰ ἄνθρωπον. πάλιν δὲ καταπλαγέντα συγκλιθῆναί τε πρὸς ἑαυτὸν τῷ προσώπῳ καὶ ἀμηχανεῖν τῷ θεάματι μὴ φέροντα τοῖς ὀφθαλμοῖς τὴν ἐμφάνειαν. καὶ γὰρ δὴ τὸ παράδοξον τῆς ὀπτασίας ἐν τούτῳ μάλιστα ἦν, ὅτι νυκτὸς οὔσης βαθείας φῶς τοῖς ὀφθεῖσιν αὐτῷ συνεξέλαμψεν ὥσπερ τινὸς λαμπρᾶς ἐξαπτομένης λαμπάδος. ἐπεὶ οὖν οὐχ οἷός τε ἦν φέρειν τοῖς ὀφθαλμοῖς τὴν ἐμφάνειαν, ἤκουσε διὰ λόγου τινὸς τῶν ὀφθέντων αὐτῷ πρὸς ἀλλήλους τὸν περὶ τοῦ ζητουμένου λόγον διεξιόντων, δι' ὧν οὐ μόνον ἐπαιδεύθη τὴν ἀληθῆ γνῶσιν τῆς πίστεως, ἀλλὰ καὶ διὰ τῶν ὀνομάτων τοὺς ἐπιφανέντας ἐγνώρισεν ἑκατέρου αὐτῶν διὰ τῆς οἰκείας προσηγορίας ἀνακαλοῦντος τὸν ἕτερον. ἀκοῦσαι γὰρ λέγεται παρὰ τῆς ἐν γυναικείῳ φανείσης τῷ σχήματι παρακαλούσης τὸν εὐαγγελιστὴν Ἰωάννην φανερῶσαι τῷ νέῳ τὸ τῆς ἀληθείας μυστήριον, ἐκεῖνον δὲ εἰπεῖν ἑτοίμως ἔχειν καὶ τοῦτο τῇ μητρὶ τοῦ κυρίου χαρίσασθαι, ἐπειδὴ τοῦτο φίλον αὐτῇ. καὶ οὕτως εἰπόντα τὸν λόγον σύμμετρόν τε καὶ εὐπερίγραπτον πάλιν μεταστῆναι τῶν ὄψεων. τὸν δὲ παραχρῆμα τὴν θείαν ἐκείνην μυσταγωγίαν γράμμασιν ἐνσημήνασθαι καὶ κατ' ἐκείνην μετὰ ταῦτα κηρύσσειν ἐν τῇ ἐκκλησίᾳ τὸν λόγον καὶ τοῖς ἐφεξῆς ὥσπερ τινὰ κλῆρον τὴν θεόσδοτον ἐκείνην διδασκαλίαν καταλιπεῖν, δι' ἧς μυσταγωγεῖται μέχρι τοῦ νῦν ὁ παρ' ἐκείνοις λαὸς πάσης αἱρετικῆς κακίας διαμείνας ἀπείραστος. τὰ δὲ τῆς μυσταγωγίας ῥήματα ταῦτά ἐστιν·

Εἷς θεός

πατὴρ λόγου ζῶντος (σοφίας ὑφεστώσης καὶ δυνάμεως καὶ χαρακτῆρος ἀϊδίου)

τέλειος τελείου γεννήτωρ

πατὴρ υἱοῦ μονογενοῦς.

24sq Hebr 1,3

V^{c}SΛOEΩUX^{a} Rufinus, Ioannes Damascenus, Syrus (a 24) 1 πλαγείου ΩX^{a} post φαινόμενον add καὶ X^{a} 2 ἕτερον θέαμα τῷ ὀφθέντι coll Ov τοῦ ὀφθέντος Λ 3 δὲ: τε Λ 4 συγκληθῆναι V^{c} συγκλεισθῆναι Ω τῷ προσώπῳ om E καὶ om X^{a} 6 νυκτὸς: νυ sscr m rec in rasuram unius litterae O 7 ὠφθεῖσιν V^{c} συνεξέλαμπεν S λαμπρᾶς post ἐξαπτομένης (8) coll E 8 ἦν om E 9 ἤκουσε — ἀλλήλους expunx Ω ἄλλους E 10 ζητου- om V^{c} 12 οἰκείας: ἰδίας UX^{a} 13 ἐν om U γυναικίῳ V^{c} 15 ἀληθείας: εὐσεβείας Ov δὲ: τε UX^{a} 16 post ἐπειδὴ add καὶ O τοῦτο: τούτῳ V^{c} om Λ 18 μετατῆναι V^{c} μεταναστῆναι Ov 19 μυσταγωγίαν — ἐκείνην om, add m rec in mg X^{a} ante μετὰ add καὶ ΩUX^{a} μετὰ ταῦτα om E 20 κηρύττειν ΛΩUX^{a}v ante ἐν add τὴν ὥραν E 22 παρ' om Ev ἐκείνης SΛv 23 ἀπείρατος OE 25 πατὴρ: πηγὴ Syrus 26 ἀϊδίου: ἰδίου Med Ambr D 92 sup, Vat 866, Par 1545, Neap II C 26, Rufinus (,,suae''), Syrus 28 πατὴρ om Λ

Εἷς κύριος
μόνος ἐκ μόνου
θεὸς ἐκ θεοῦ
χαρακτὴρ καὶ εἰκὼν τῆς θεότητος
λόγος ἐνεργός
σοφία τῆς τῶν ὅλων συστάσεως περιεκτική
καὶ δύναμις τῆς ὅλης κτίσεως ποιητική
υἱὸς ἀληθινὸς ἀληθινοῦ πατρός
ἀόρατος ἀοράτου
(καὶ) ἄφθαρτος ἀφθάρτου
(καὶ) ἀθάνατος ἀθανάτου
(καὶ) ἀΐδιος ἀϊδίου.
Ἓν πνεῦμα ἅγιον
ἐκ θεοῦ τὴν ὕπαρξιν ἔχον
καὶ δι' υἱοῦ πεφηνὸς (δηλαδὴ τοῖς ἀνθρώποις)
εἰκὼν τοῦ υἱοῦ τελείου τελεία
913 M. ζωὴ ζώντων αἰτία
ἁγιότης ἁγιασμοῦ χορηγός
ἐν ᾧ φανεροῦται θεὸς ὁ πατήρ
ὁ ἐπὶ πάντων καὶ ἐν πᾶσι
καὶ θεὸς ὁ υἱός
ὁ διὰ πάντων.
Τριὰς τελεία
δόξῃ καὶ ἀϊδιότητι καὶ βασιλείᾳ μὴ μεριζομένη μηδὲ
ἀπαλλοτριουμένη.

---

24 Greg Naz or 31 (37) c 28: θεὸν τὸν πατέρα θεὸν τὸν υἱὸν θεὸν τὸ ἅγιον πνεῦμα τρεῖς ἰδιότητας θεότητα μίαν δόξῃ καὶ τιμῇ καὶ οὐσίᾳ καὶ βασιλείᾳ μὴ μεριζομένην ὥς τις τῶν μικρῷ πρόσθεν θεοφόρων ἐφιλοσόφησεν (Migne PG 36,164C sq)

V^{c}ΣΛΟΕΩUX^{a} Rufinus, Ioannes Damascenus, Syrus 1 ante εἷς add καὶ V^{c}Λ Ioann Dam κύριος: θεὸς Hier Saba 141, ,,deus'' codex Rufini quem editores signo O notabant (ex correctura ut vid) 4 τῆς om V^{c}SE 7 κτήσεως X^{a} 8 ante ἀληθινοῦ add ἐξ Med Ambr D 92 sup, Rufinus πατρὸς om Par 534, Neap C II 26, Rufinus 10-12 καὶ ter uncis seclusi 11 καὶ ante ἀθάνατος om V^{c} 13 ante ἕν add καὶ V^{c} Λ Ioann Dam, Syrus 15 δηλαδὴ τοῖς ἀνθρώποις om Rufinus Syrus 16 τελείου om Ioann Dam 17 ante ζωὴ add καὶ Ioann Dam ζωὴ om Rufinus post αἰτία add πηγὴ O πηγὴ ἁγία ΩUX^{a}v Ioann Dam καὶ πηγὴ Med Ambr D 92 sup 19 ὁ πατήρ om Rufinus 21 θεὸς om Rufinus, Syrus 22 ὁ om V^{c} 24 ἀϊδιότητι: ἀϊ et η m rec ex corr X^{a} μηδὲ ἀπαλλοτριουμένη om V^{c}

(οὔτε οὖν κτιστόν τι ἢ δοῦλον ἐν τῇ τριάδι οὔτε ἐπείσακτον ὡς πρότερον μὲν οὐχ ὑπάρχον ὕστερον δὲ ἐπεισελθόν. οὔτε οὖν ἐνέλιπέ ποτε υἱὸς πατρὶ οὔτε υἱῷ πνεῦμα, ἀλλ' ἄτρεπτος καὶ ἀναλλοίωτος ἡ αὐτὴ τριὰς ἀεί.)

Ὅτῳ δὲ φίλον περὶ τούτου πεισθῆναι, ἀκουέτω τῆς ἐκκλησίας, ἐν ᾗ τὸν λόγον ἐκήρυττε, παρ' οἷς αὐτὰ τὰ χαράγματα τῆς μακαρίας ἐκείνης χειρὸς εἰς ἔτι καὶ νῦν διασῴζεται. ταῦτα οὐχὶ πρὸς τὰς θεοτεύκτους ἐκείνας πλάκας ἁμιλλᾶται τῇ μεγαλοφυΐᾳ τῆς χάριτος; ἐκείνας λέγω τὰς πλάκας, ἐν αἷς ἡ τοῦ θείου θελήματος ἐνετυπώθη νομοθεσία. ὡς γὰρ τὸν Μωϋσέα φησὶν ὁ λόγος ἔξω τοῦ φαινομένου γενόμενον καὶ ἐντὸς τῶν ἀοράτων ἀδύτων τῇ ψυχῇ καταστάντα (τοῦτο γὰρ ὁ γνόφος αἰνίττεται) μαθεῖν τε τὰ θεῖα μυστήρια καὶ δι' ἑαυτοῦ τῆς θεογνωσίας παντὸς τοῦ λαοῦ καθηγήσασθαι, τὴν αὐτὴν ἔστι καὶ ἐπὶ τοῦ μεγάλου τούτου κατιδεῖν οἰκονομίαν, ᾧ ὄρος μὲν ἦν οὐκ αἰσθητὸν γεώλοφον ἀλλὰ τὸ ὕψος τῆς τῶν ἀληθινῶν δογμάτων ἐπιθυμίας, γνόφος δὲ τὸ τοῖς ἄλλοις ἀχώρητον θέαμα, δέλτος δὲ ἡ ψυχή, τὰ δὲ ἐν ταῖς πλαξὶ γράμματα ἡ τοῦ ὀφθέντος φωνή, δι' ὧν ἁπάντων αὐτῷ τε καὶ τοῖς παρ' ἐκείνου μυσταγωγουμένοις ἐγένετο ἡ τῶν μυστηρίων φανέρωσις.

Ἐπειδὴ τοίνυν παρρησίας τινὸς καὶ θάρσους διὰ τῆς ὄψεως ἐκείνης πλήρης ἐγένετο, καθάπερ τις ἀθλητὴς ἀρκοῦσαν πρὸς τοὺς ἄθλους

1-5 cf Ps Basil Adv Eunomium V: οὐκ ἀνέλιπεν υἱός ποτε τῷ πατρὶ οὐδὲ υἱῷ πνεῦμα, ἀλλ' ἄτρεπτος καὶ ἀναλλοίωτος ἡ τριὰς ἀεί (Migne PG 29,753B); Greg Naz or 40 c 42: οὐδὲν τῆς τριάδος δοῦλον οὐδὲ κτιστὸν οὐδὲ ἐπείσακτον ἤκουσα τῶν σοφῶν τινος λέγοντος (Migne PG 36,420A) 8sq cf Basil de spir sanct 29: δεύτερος Μωϋσῆς παρ' αὐτῶν τῶν ἐχθρῶν τῆς ἀληθείας ἀνηγορεύετο (Migne PG 32,205C) 8-10 cf Exod 31,18 11 cf Philo de post Cain 14sq; Greg Nyss Vit Moys VII 1 22,4sqq et 86,11sqq

---

V^{c}ΣΛΟΕΩUX^{a} Rufinus Ioannes Damascenus, Syrus (usque ad ἀεί (5)) 1 τῇ om Ioann Dam 2 post ἐπίσακτον add τι Ov οὐχ ὑπάρχον: οὐκ ὂν S Vat 866, Hier Saba 141, Neap II C 26 3 οὖν: γὰρ V^{c}S Ioann Dam ἔλειπε E 4 ante πνεῦμα add τὸ ΣΛΕ τῷ V^{c} post πνεῦμα add οὔτε ηὐξήθη μονὰς εἰς δυάδα καὶ δυὰς εἰς τριάδα V^{c}SΛ Syrus 6 ὅτῳ: εἴ τῳ S 7 οἷς: ἧς V^{c}SΛU (cf 17,22) 9 ἐκείνους V^{c} ἁμιλλᾶται V^{c} post ἐκείνας alt add δὲ Ev 10 βουλήματος Ov ἐτυπώθη V^{c} (-ποθ-) ΛX^{a} 11 Μωσέα SOΩX^{a} 13 αἰνίσσεται V^{c} τε om Ω ἑαυτοῦ: αὐτῶν Ω 14 καθοδηγήσασθαι Ω 15 τούτου: Γρηγορίου V^{c}SΛ post κατιδεῖν add Γρηγορίου Ω οἰκονομίαν post ἔστι (14) coll V^{c}SΛΩ ante γεώλοφον add ἢ Ev γαιόλοφον V^{c} 16 ἀληθῶν UX^{a} ἐπιθυμίαις O τὸ alt om E 18-19 παρ' ἐκείνων (sic) post ἐγένετο coll X^{a} 19 ἐγίνετο UX^{a} 20 ἐπεὶ V^{c}SΛ

ἐμπειρίαν τε καὶ δύναμιν ἐκ παιδοτρίβου κτησάμενος θαρσῶν ἀποδύεται πρὸς τὸ στάδιον καὶ πρὸς τοὺς ἀντιπάλους κονίζεται, τὸν αὐτὸν τρόπον κἀκεῖνος τῇ τε καθ' ἑαυτὸν μελέτῃ καὶ τῇ συμμαχίᾳ τῆς ἐπιφανείσης αὐτῷ χάριτος ἱκανῶς τὴν ψυχὴν ἀλειψάμενος οὕτως ἀντιλαμβάνεται τῶν ἀγώνων (οὐ γὰρ ἄλλο τι χρὴ καλεῖν ἢ ἀγῶνας καὶ ἄθλους πάντα τὸν κατὰ τὴν ἱερωσύνην αὐτοῦ βίον, ἐν ᾧ πᾶσαν διὰ τῆς πίστεως τὴν τοῦ ἀντικειμένου κατηγωνίσατο δύναμιν)· εὐθὺς γὰρ ἀπὸ τῆς ἐσχατιᾶς ἑαυτὸν ἀναστήσας καὶ πρὸς τὴν πόλιν τὴν ὁρμὴν ἔχων, ἐν ᾗ ἔδει τῷ θεῷ τὴν ἐκκλησίαν συστήσασθαι, ἐπειδὴ ἔγνω πάντα τὸν χῶρον τῇ τῶν δαιμόνων ἀπάτῃ κατακρατούμενον καὶ τοῦ μὲν ἀληθινοῦ θεοῦ ναὸν οὐδαμοῦ κατεσκευασμένον, πεπληρωμένην δὲ πᾶσαν τὴν πόλιν καὶ τὴν περίοικον βωμῶν τε καὶ ἱερῶν καὶ ἀφιδρυμάτων παντὸς τοῦ ἔθνους ταύτην ἔχοντος τὴν σπουδήν, ὅπως ἂν τὰ τεμένη τῶν εἰδώλων καὶ τὰ ἱερὰ καλλωπίζοιτο καὶ παραμένοι τοῖς ἀνθρώποις ἡ εἰδωλομανία πομπαῖς καὶ τελεταῖς καὶ τοῖς ἐπιβωμίοις μιάσμασι κρατυνομένη, καθάπερ τις στρατιώτης γενναῖος τῷ κρατοῦντι τῆς παρατάξεως συμπλακεὶς δι' ἐκείνου τὸ ὑποχείριον τρέπεται, οὕτως καὶ ὁ μέγας οὗτος ἀπ' αὐτῶν τῶν δαιμόνων τῆς ἀριστείας ἄρχεται. τίς δὲ ὁ τρόπος;

Διερχόμενος γὰρ τὴν ἀπὸ τῆς ἐσχατιᾶς ἐπὶ τὴν πόλιν ὁδὸν ἑσπέρας
916 M. καταλαβούσης καὶ ὄμβρου βιαιοτέρου συνέχοντος ἐντὸς ἱεροῦ τινος γίνεται μετὰ τῶν ἑπομένων αὐτῷ. τὸ δὲ ἱερὸν ἐκεῖνο τῶν ἐπισήμων ἦν, ἐν ᾧ τις φανερὰ τῶν θεραπευομένων δαιμόνων ἐπιφοίτησις τοῖς νεωκόροις ἐγίνετο μαντικῆς τινος καὶ χρησμῳδίας παρ' αὐτῶν ἐνεργουμένης. ὑπελθὼν δὲ τὸ ἱερὸν μετὰ τῶν σὺν αὐτῷ τὰ μὲν δαιμόνια παραχρῆμα τῇ ἐπικλήσει τοῦ ὀνόματος τοῦ Χριστοῦ κατεπτόησεν, τῷ δὲ τύπῳ τοῦ σταυροῦ τὸν μεμολυσμένον ταῖς κνίσαις ἀέρα καθαγνίσας διήγαγε κατὰ

9sqq cf Syr c 3 20sqq cf Syr c 5; Rufin Euseb hist eccl VII 28,2 (p 954 Schwartz-Mommsen); Socrates hist eccl IV 27 (Migne PG 67,536C)

V^{c}SΛOEΩ (usque ad ἄρχεται (18), ab ἄρχεται Ω^a) **UX^a** 1 ἐκ: ἐν V^{c}ΩUX^a ἐμ Λ θαρρῶν SΛ 2 ἀγωνίζεται V^c (-γον-) Ov ἀνταγωνίζεται Ω 3 κἀκεῖνος om E 6 κατὰ τὴν: καθ' Ov 10 κρατούμενον Ω 11 κατασκευασμένον Ω πᾶσαν om V^c 12 καὶ ante ἱερῶν om OEv 13 τεμένη: ultimam lit del X^a, sed non fuerat η 14 καλλωπίζοιντο V^{c}S (sed ν del) ΛUX^a παραμένη SΛ παραμένει V^{c}Ω παραμένοιτο E 15 post πομπαῖς add τε v 17 τὸ: τὸν E 18 οὕτω V^{c}UX^a post οὗτος add Γρηγόριος Ω δαιμονίων X^a ἀπάρχεται S τίς δὲ ὁ τρόπος om V^{c}SΛ 19 γὰρ om Ω^{a}UX^a τῆς om S 20 τινος ante ἱεροῦ coll Λ 22 ἐν om Ov 23 καὶ om ΛOΩ^{a}v 24 post ἱερὸν add ἐκεῖνο UX^a παραχρῆμα: παρ' αὐτὰ Ω^{a}UX^a 26 κνίσσαις Ev ἀέρα: ἱερέα Ω^a

τὸ σύνηθες αὐτῷ τὴν νύκτα πᾶσαν ἐν προσευχαῖς τε καὶ ὑμνῳδίαις διαγρυπνήσας, ὥστε μετασκευασθῆναι εἰς Προσευχῆς οἶκον τὸν ἐβδελυγμένον τῷ τε ἐπιβωμίῳ λύθρῳ καὶ τοῖς ἀφιδρύμασιν. τοῦτον δὲ τὸν τρόπον τῆς νυκτὸς αὐτῷ διανυσθείσης εἶχετο πάλιν [κατὰ τὸν ὄρθρον] τῆς ἐπὶ τὰ πρόσω πορείας. τοῦ δὲ νεωκόρου κατὰ τὸν ὄρθρον τὴν συνήθη προσάγοντος θεραπείαν τοῖς δαίμοσιν εἰπεῖν ἐπιφανέντα φασὶν αὐτῷ τὰ δαιμόνια ἄβατον αὐτοῖς τὸ ἱερὸν εἶναι διὰ τὸν ἐν αὐτῷ καταμείναντα. τὸν δὲ καθαρσίοις τισὶ καὶ θυσίαις χρώμενον ἐπιχειρεῖν διὰ τούτων πάλιν εἰσοικίσαι τῷ ναῷ τὰ δαιμόνια. ὡς δὲ πᾶσαν αὐτοῦ πεῖραν προσάγοντος ἄπρακτος ἦν ἡ σπουδὴ οὐδαμοῦ κατὰ τὸ σύνηθες ὑπακουόντων αὐτοῦ τῶν δαιμόνων τῇ ἐπικλήσει, τότε θυμῷ καὶ ὀργῇ διαναστὰς καταλαμβάνει τὸν μέγαν ἐκεῖνον ὁ νεωκόρος πάντα ἀπειλῶν τὰ δεινότατα καὶ τοῖς ἄρχουσιν εἰσαγγέλλειν καὶ χειρὶ κατ' αὐτοῦ κεχρῆσθαι καὶ βασιλεῖ καταμηνύειν τὴν τόλμαν, ὅτι δὴ Χριστιανὸς ὢν καὶ θεοῖς ἐχθρὸς ἐτόλμησεν ἐντὸς τῶν ἀνακτόρων γενέσθαι, οὗ τὴν εἴσοδον ἀπεστράφθαι τὴν ἐν τοῖς ἱεροῖς ἐνεργοῦσαν δύναμιν καὶ μηκέτι ἐπιχωριάζειν τοῖς τόποις κατὰ τὸ σύνηθες τὴν μαντικὴν τῶν δαιμόνων ἐνέργειαν. τοῦ δὲ τὸν προπετῆ καὶ ἀπαίδευτον τοῦ νεωκόρου θυμὸν ἐν ὑπερέχοντι φρονήματι καταβάλλοντος καὶ τοῦ ἀληθινοῦ θεοῦ τὴν συμμαχίαν πάσαις ἀντιπροβαλλομένου ταῖς ἀπειλαῖς καὶ λέγοντος τοσοῦτον πεποιθέναι τῇ δυνάμει τοῦ ὑπερμαχοῦντος αὐτοῦ, ὥστε κατ' ἐξουσίαν ἔχειν ἀπελαύνειν τε αὐτούς, ὅθεν ἂν βούληται, καὶ εἰσοικίζειν, οἷς ἂν ἐθέλῃ τόποις, καὶ τὰς ἀποδείξεις, ὧν ἔλεγεν, ἤδη παρέξειν

2 cf Is 56,7; Marc 11,17; Matth 21,13; Luc 19,46

V^{c}SΛOEΩ^{a}UX^{a} 1 τε om V^{c}Λ 2 post ἐβδελυγμένον add ναὸν E τόπον Ω^{a} 3 τῷ τε: τότε V^{c} τε: om SUX^{a} δὲ Λ δὲ: δὴ UX^{a} 4 κατὰ τὸν ὄρθρον uncis seclusi 5 τὰ: τὸ Ov κατὰ τὸν ὄρθρον om V^{c}SΛ 6 προσάγοντος τὴν συνήθη coll SΛ προσαγαγόντος Ω^{a} εἰπεῖν om E φασὶν: post αὐτῷ coll E φησὶν O λέγεται (sed ante ἐπιφανέντα coll) UX^{a} 7 αὐτοῖς: αὐτὸν X^{a} (alii stirpis ℵ, e g Par 1530, αὐτῶν) post καταμείναντα add βοῶντα E 8 διὰ τούτων expunx, add post εἰσοικίσαι Ω^{a} 9 εἰσοικίσαι πάλιν coll UX^{a} τῷ ναῷ εἰσοικίσαι coll S 10 ὑπακουσάντων V^{c}SΛ 11 αὐτῷ V^{c}SΛΩ^{a}UX^{a} δαιμονίων V^{c}Ω^{a} κλήσει EUX^{a} post ὀργῇ add πλησθεὶς ὁ νεοκόρος (sic) καὶ Ω^{a} 12 ὁ νεωκόρος om Ω^{a} 14 καὶ pr om v 15 ante θεοῖς add τοῖς X^{a} τῇ εἰσόδῳ X^{a} 16 ante τοῖς 2 litt eras (an αὐ-?) X^{a} 17 ante τοῖς add ἐν UX^{a} 18 συνέργειαν X^{a} 19 καταβάλοντος V^{c} καταβαλόντος SEΩ^{a}X^{a} τοῦ θεοῦ τὴν συμμαχίαν τοῦ ἀληθινοῦ V^{c}Λ 20 ἀντιπροβαλομένου S (corr e -βαλλο-) Ω^{a}X^{a}v ταῖς om X^{a} 21 ὑπερμαχανοῦντος V^{c} αὐτῷ SΛΩ^{a}UX^{a} 22 τε om S αὐτοὺς: τοὺς δαίμονας E 23 ἐθέλοι V^{c}ΛΩ^{a}UX^{a} τόπους V^{c} post ὧν add ἂν UX^{a} παρέχειν S

ὑπισχνουμένου θαυμάσαντα τὸν νεωκόρον καὶ καταπλαγέντα τὸ μέγεθος τῆς ἐξουσίας ἀπ' αὐτῶν τούτων δεῖξαι τὴν δύναμιν προσκαλέσασθαι καὶ πάλιν ἐντὸς ποιῆσαι τοῦ ἱεροῦ τὰ δαιμόνια. ἀκούσαντα δὲ ταῦτα τὸν μέγαν ἀπορρῆξαί τι τοῦ βιβλίου τμῆμα βραχὺ καὶ δοῦναι τοῦτο τῷ νεωκόρῳ προστακτικὴν φωνήν τινα κατὰ τῶν δαιμόνων χαράξαντα. ἦν δὲ τὰ γράμματα ἐπ' αὐτῆς τῆς λέξεως ταῦτα· ΓΡΗΓΟΡΙΟΣ ΤΩΙ ΣΑΤΑΝΑΙ· ΕΙΣΕΛΘΕ. λαβόντα δὲ τὸν νεωκόρον ἀναθεῖναι τῷ
917 M. βωμῷ τὸ βιβλίδιον, εἶτα προσαγαγόντα τὰς συνήθεις αὐτοῖς κνίσας καὶ τὰ μιάσματα πάλιν ἰδεῖν, ἅπερ ἑώρα τὸ πρότερον πρὶν ἐξοικισθῆναι τοῦ εἰδωλείου τοὺς δαίμονας. τούτων δὲ γεγονότων ἔννοιαν αὐτὸν λαβεῖν τοῦ θείαν εἶναί τινα παρὰ τῷ Γρηγορίῳ τὴν δύναμιν, δι' ἧς ἐφάνη τῶν δαιμόνων ἐπικρατέστερος. καταλαβόντα δὲ κατὰ σπουδὴν πάλιν αὐτὸν πρὶν ἐν τῇ πόλει γενέσθαι, μαθεῖν ἀξιῶσαι παρ' αὐτοῦ τὸ μυστήριον καὶ τίς ὁ θεὸς ἐκεῖνος ὁ τὴν τῶν δαιμόνων φύσιν ὑποχείριον ἔχων. εἰπόντος δὲ δι' ὀλίγων τοῦ μεγάλου τὸ τῆς εὐσεβείας μυστήριον παθεῖν τι τὸν νεωκόρον οἷον εἰκὸς τὸν τῶν θείων ἀμύητον, καὶ μικρότερον οἰηθῆναι τῆς περὶ θεοῦ ὑπολήψεως τὸ πεισθῆναι διὰ σαρκὸς ἀνθρώποις πεφηνέναι τὸ θεῖον. τοῦ δὲ μὴ λόγοις εἰπόντος τὴν περὶ τούτου πίστιν κρατύνεσθαι, τοῖς δὲ τῶν γινομένων θαύμασι τὸ πιστὸν ἔχειν, ζητῆσαί τι παρ' αὐτοῦ θαῦμα τὸν νεωκόρον ἰδεῖν ὡς προσαχθῆναι διὰ τοῦ γινομένου πρὸς τὴν τῆς πίστεως συγκατάθεσιν. ἔνθα δὴ τὸ πάντων ἀπιστότατον λέγεται θαῦμα πεποιηκέναι τὸν μέγαν ἐκεῖνον. ἐπιζητοῦντος γὰρ τοῦ νεωκόρου λίθον τινὰ τῶν εὐμεγεθῶν κατ' ὀφθαλμοὺς αὐτῷ προφαινο-

---

23sqq cf Matth 17,20

V^{c}SΛOEΩ^{a}UX^{a} 2 ante δεῖξαι add εἰπεῖν Λ post δύναμιν add αἰτεῖν S 2-3 προσκαλέσασθαί τε πάλιν καὶ ἐντὸς SΩ^{a}ΘX^{a} 3 δὲ om Ω^{a} τοῦτο Ov 4 ῥῆξαι UX^{a} τι: τε S τμῆμα τοῦ βιβλίου coll E 6 γεγραμμένα Ω^{a} ante ἐπ' add τὰ E ἐπ': ὑπ' Ω^{a} ταῦτα: τάδε UX^{a} 8 βιβλίον OEv προσαγόντα V^{c} 9 post πάλιν add ἦν Ω^{a} ἰδεῖν: ὁρᾷ E 10 εἰδωλίου V^{c}S δὴ UX^{a} αὐτῷ X^{a} αὐτῶν E (sed corr ead m) 11 τοῦ: τῷ X^{a} εἶναί τινα scr in rasuram 11 fere litt O 12 σπουδῆς E πάλιν post δὲ coll ΛUX^{a} αὐτὸν om E 13 πρὶν om V^{c} ἠξίωσε UX^{a}v ἠξίου E ἀξιοῖ Ω^{a} 14 ὑποχειρίαν Ev 15 ὀλίγου V^{c}S ὀλίγω O ὀλίγον X^{a} τὸν: τὸ V^{c} 17 ἀνθρωπίνης ΛE πεφηνέναι τοῖς ἀνθρώποις Ov 18 post θεῖον add μυστήριον Ω^{a} 19 τι: ἔτι Ev τὸ V^{c} 20 ἰδεῖν ὡς om E ante προσαχθῆναι add εἰθ' οὕτως Ev γενομένου E 21 συγκατάβασιν Ω^{a} 22 ante θαῦμα add τι Λ τε V^{c}Ω^{a} θαυματοποιηκέναι V^{c}Ω^{a} πεποιηκέναι τὸ μέγα θαῦμα τὸν Ov post μέγαν add Γρηγόριον SΛ 23 τῶν εὐμεγεθῶν: τὸν V^{c}SΛ post εὐμεγεθῶν iterat τῶν Ov ὀφθαλμοῖς Ω^{a}X^{a} αὐτῶν UX^{a} αὐτοῖς E προσφαινόμενον V^{c}S προφαινόμενον ΛEΩ^{a}UX^{a}

μένων διὰ χειρὸς ἀνθρωπίνης κινηθῆναι μὴ δυνάμενον διὰ μόνης δὲ τῆς κατὰ τὴν πίστιν δυνάμεως προστάγματι τοῦ Γρηγορίου πρὸς ἕτερον μετατεθῆναι χῶρον, μηδὲν ἀναβαλλόμενον τὸν μέγαν ἐκεῖνον εὐθὺς προστάξαι καθάπερ ἐμψύχῳ τῷ λίθῳ μεταβῆναι πρὸς ἐκεῖνον τὸν τόπον, ὃν ὁ νεωκόρος ὑπέδειξεν. τούτου δὲ γενομένου παραχρῆμα πιστεῦσαι τῷ λόγῳ τὸν ἄνδρα καὶ πάντα καταλιπόντα γένος οἰκίαν γαμετὴν παῖδας φίλους ἱερωσύνην ἑστίαν κτήματα ἀντὶ πάντων τῶν προσόντων αὐτῷ ποιήσασθαι τὸ συνεῖναι τῷ μεγάλῳ καὶ συμμετέχειν τῶν πόνων αὐτῷ καὶ τῆς θείας ἐκείνης φιλοσοφίας τε καὶ παιδεύσεως.

Σιγάτω πρὸς ταῦτα πᾶσα τεχνικὴ τῶν λογογράφων περίνοια τὰς ἐπαυξήσεις τῶν θαυμάτων διά τινος ῥητορείας ἐπὶ τὸ μεῖζον ἐξαίρουσα. οὐ γὰρ τοιοῦτόν ἐστιν ἐν τοῖς εἰρημένοις τὸ θαῦμα ὡς τῇ δυνάμει τοῦ λέγοντος ἔλαττον ἢ μεῖζον ἑαυτοῦ γενέσθαι. τί γάρ τις εἰπὼν παρὰ τὰ εἰρημένα προσθήκην δώσει τῷ θαύματι; πῶς δ' ἄν τις ἐλαττώσειε τοῖς ἀκούουσιν ἐπὶ τῷ γεγονότι τὴν ἔκπληξιν; λίθος ἀφίστησι τῶν λίθων τοὺς δεδουλωμένους τοῖς λίθοις, λίθος κῆρυξ τῆς θείας πίστεως καὶ ὁδηγὸς τοῖς ἀπίστοις εἰς σωτηρίαν γίνεται οὐ φωνῇ τινι καὶ λόγῳ τὴν θείαν δύναμιν ἀνακηρύσσων, ἀλλ' οἷς ἐποίει δεικνὺς τὸν θεὸν τὸν ὑπὸ τοῦ Γρηγορίου καταγγελλόμενον, ᾧ πᾶσα κατὰ τὸ ὁμότιμον ἡ ὑποχείριος πείθεται κτίσις οὐχ ὅσον αἰσθητικὸν μόνον καὶ ἔμπνουν καὶ ἔμψυχον, ἀλλ' εἴ τι καὶ τούτων ἐστὶν ἐκτός, οὕτω δέχεται τὸ τοῦ θεράποντος ἐπίταγμα ὡς οὐκ ἀμοιροῦν τῆς αἰσθήσεως. ποία γὰρ ἀκοὴ τοῦ

15sq cf Act 17,29; Is 40,18sqq; Deut 4,28; 28,36; Ier 2,27; 3,9; Ez 20,32

V^{c}SΛOEΩ (a 14 προσθήκην) **Ω^{a}** (usque ad 14 προσθήκην) **UX^{a}** 1 ante διὰ pr add καὶ Ω^{a} διὰ pr: δίχα OUX^{a}v μὴ δυνάμενον: om Ov μὴ κινούμενον (sed post προφαινομένων coll) UX^{a} δὲ post διὰ alt coll Ov om UX^{a} 3 μετατεθέντα UX^{a} ἀναβαλόμενον X^{a} 4 προστάξας V^{c} μεταβῆναι post τόπον (5) coll UX^{a} 6 πιστεύσαντα ΛU τὸν ἄνδρα: τὸν νεωκόρον U τῶ νεωκόρω X^{a}, ante τῷ λόγῳ coll Ω^{a} καταλειπόντα (sic) V^{c}Λ οἶκον E 8 τὸ: τοῦ Ov τῶ V^{c}UX^{a} 9 αὐτῷ τῶν πόνων coll E post παιδεύσεως add ἀπολαύειν E 11 θαυμάτων: πραγμάτων ΛUX^{a} ῥητορικῆς V^{c}S ἱστορίας E 13 post ἔλαττον add ὂν e dittographia Λ ἄν OUX^{a}v e coniectura opinor ἢ om Λ παρὰ: πρὸς UX^{a} 15 τὸν λίθον ΛEX^{a} (sed corr) 16 λίθος om UX^{a} θείας: ἀληθινῆς V^{c} (-θην-) Λ ἀληθείας καὶ S 18 κηρύττων UX^{a} τὸν ante θεὸν om V^{c}Λ τὸν ante ὑπὸ om Ov 19 τοῦ om Ω ἡ om Ov 20 post αἰσθητικὸν add τε V^{c}Λ μόνον post ἔμπνουν coll V^{c}SΛ καὶ ἔμπνουν om Ω ἔμπνουν scr in rasuram m rec X^{a} 21 post οὕτω add τε Ω δὲ X^{a} δέχεται: λέγεται UX^{a} 21-22 τὸ ... ἐπίταγμα scripsi cum v: τὰ ... ἐπιτάγματα codd (-γμα O) 22 ἀμοιροῦν scripsi cum libris Ven Marc 350 (e correctura man rec; in rasura 3 litt), Vat Barb 524, Vind hist 11 (-ου- in rasura): ἀμοιρῶν V^{c}S ἀμοιροῦντα ΛOEΩU X^{a}v

λίθου; ποία τῆς τοῦ κελεύοντος ἐξουσίας αἴσθησις; τίς δύναμις ἐν αὐτῷ μεταβατική; ποία μελῶν τε καὶ ἄρθρων διασκευή; ἀλλὰ πάντα ταῦτα καὶ τὰ τοιαῦτα τῷ λίθῳ ἡ τοῦ κελεύοντος δύναμις γίνεται, πρὸς ἣν ἰδὼν ὁ νεωκόρος ἐκεῖνος εὐθὺς τὴν γινομένην ἐπὶ πλάνῃ τῆς ἀνθρωπίνης φύσεως ἀπάτην τῶν δαιμόνων ἐνόησέ τε καὶ ἐβδελύξατο καὶ πρὸς τὸν
920 M. ἀληθινὸν θεὸν μετετάξατο διὰ τῶν παρὰ τοῦ δούλου γεγενημένων τὸ ἄφραστον τῆς τοῦ δεσπότου δυνάμεως λογισάμενος. εἰ γὰρ τοσαύτη τοῦ δούλου ἡ δύναμις ὡς ῥήματι κινεῖν τὰ ἀκίνητα καὶ προστάγματι κεχρῆσθαι κατὰ τῶν ἀναισθήτων καὶ τοῖς ἀψύχοις διακελεύεσθαι, πόσην εἰκός ἐστι περιουσίαν δυνάμεως ἐν τῷ δεσπότῃ τοῦ παντὸς κατανοῆσαι, οὗ τὸ θέλημα ὕλη καὶ κατασκευὴ καὶ δύναμις αὐτοῦ τε τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ πάντων καὶ ὑπὲρ τοῦτον ὄντων ἐγένετο;

Ἐντεῦθεν ὁ μέγας ἐκεῖνος τῆς κατὰ τῶν δαιμόνων ἀριστείας ἀρξάμενος καὶ οἷόν τι τρόπαιον κατὰ τῶν νικηθέντων τὸν νεωκόρον περιαγόμενος προκαταπλήξας τῇ φήμῃ τὸ ἔθνος οὕτως ἤδη μετὰ πεποιθήσεώς τε καὶ παρρησίας εἰς τὴν πόλιν εἰσήλαυνεν οὐχ ἅρμασι καὶ ἵπποις καὶ ἡμιόνοις καὶ τῷ πλήθει τῶν παρεπομένων ἐπικομπάζων, ἀλλὰ ταῖς ἀρεταῖς ἐν κύκλῳ δορυφορούμενος πανδημεὶ δὲ προχεθέντων τῶν οἰκητόρων τοῦ ἄστεος ὡς ἐπί τινα καινοῦ θεάματος ἱστορίαν καὶ πάντων ἰδεῖν προθυμουμένων, τίς ἐκεῖνός ἐστιν ὁ Γρηγόριος, ὃς ἄνθρωπος ὢν τῶν νομιζομένων παρ' αὐτοῖς εἶναι θεῶν καθάπερ τις βασιλεὺς τὴν ἐξουσίαν ἔχει προστάγματι φέρων καὶ ἄγων κατὰ τὸ δοκοῦν ὅπουπερ

---

11 ὕλη cf Greg Nyss Tunc et ipse III 2 11,6sq

V^{c}SΛOEΩUX^{a} 1 ποία om UX^{a} τῆς ... ἐξουσίας om E κελευομένου E κελευσθέντος Ω post τίς add δὲ X^{a} 2 μεταποιητική X^{a} κατασκευή SΛX^{a} ταῦτα om V^{c} 3 καὶ τὰ τοιαῦτα om S τῷ om v τῷ λίθῳ om E τῇ ... δυναμει E ἡ ante δύναμις coll S κελεύσαντος ΛUX^{a} ἰδὼν: εἰδὼς ΩX^{a} (εἰδὼν Med Ambr D 92 sup) 4 γενομένην Ω 5 ἐνενόησε V^{c}SΛ ἐνόησαν X^{a} man rec 5-6 πρὸς τὸν θεὸν τὸν ἀληθινὸν O 6 post θεὸν add καὶ δεσπότην Ω τοῦ — τοσαύτη (7) om X^{a} παρὰ: ὑπὸ V^{c}SΛ om E post δούλου add αὐτοῦ S 7 τοιαύτη E 8 post δύναμις add ἔλεγεν ΛUX^{a} ῥήματι: λόγῳ S 11 τῷ θελήματι ΩUX^{a} post θέλημα add οἷόν τι O οἷόν τις v ὕλη καὶ om E καὶ alter om V^{c} post τε add καὶ X^{a} 12 τούτων V^{c}ΛΩ ταῦτα X^{a} 13 ἐκεῖνος: om V^{c}S οὗτος Λ Γρηγόριος Ω τῆς post κατὰ coll O 14 τὸν νεωκόρον περιαγόμενος ante τρόπαιον coll Ω 15 ante τῇ add τε ΛOEv τῇ om V^{c} 17 τῷ πλήθει: τῇ μνήμῃ S κομπάζων O 18 post δὲ add πάντων Ov post προχεθέντων add πάντων V^{c}EΩ 19 ἄστεως V^{c}X^{a} ὡς om E 20 ἐστιν ἐκεῖνος coll EUX^{a} 21 τὴν om Ov 22 ὅπουπερ ἂν ἐθέλῃ (ἐθέλοι O) addito καὶ ὅθεν (ὅπου U ὅπου δ' (om καὶ) X^{a}) ἂν βούληται post ἄγων coll OΩUX^{a} ὅπουπερ ἂν ἐθέλοι τὰ δαιμόνια (sic) addito καὶ ὅθεν ἂν βούληται post ἄγων coll Ev κατὰ: πρὸς OEUX^{a}v

ἂν ἐθέλῃ τοὺς δαίμονας ὥσπερ ἀνδράποδα καὶ τὸν θεραπευτὴν ἐκείνων φέρει καθάπερ ἐν ἐξουσίᾳ τινὶ δουλωσάμενος ὑπεριδόντα μὲν τῆς τιμῆς, ἐν ᾗ τὸ πρότερον ἦν, τῶν δὲ προσόντων πάντων τὴν μετ' αὐτοῦ διαγωγὴν ἀλλαξάμενον. τοιαύτῃ δὲ γνώμῃ πάντων προσδεχομένων αὐτὸν πρὸ τοῦ ἄστεος ἐπειδὴ κατ' αὐτοὺς ἐγένετο πάντων εἰς ἐκεῖνον ἀτενῶς ἀποβλεπόντων, καθάπερ ὕλην ἄψυχον παριὼν τοὺς ἀνθρώπους πρὸς οὐδένα τῶν ἐντυγχανόντων ἐπιστρεφόμενος καὶ κατ' εὐθεῖαν ἐπὶ τὴν πόλιν βαδίζων πολὺ μᾶλλον αὐτοὺς εἰς ἔκπληξιν ἤγαγεν ὑπὲρ τὴν φήμην τοῖς ὁρῶσι φαινόμενος. τὸ γὰρ πρώτως εἰσελαύνοντα πόλει μεγάλῃ μηδεμιᾶς τοιαύτης συνηθείας αὐτῷ προϋπαρχούσης ἔπειτα μὴ καταπλαγῆναι δῆμον τοσοῦτον ἐπ' ἐκείνῳ συνειλεγμένον, ἀλλ' οἷον δι' ἐρήμου βαδίζοντα πρὸς ἑαυτὸν μόνον καὶ πρὸς τὴν ὁδὸν ἀποβλέπειν πρὸς οὐδένα τῶν περὶ αὐτὸν ἠθροισμένων ἐπιστρεφόμενον, τοῦτο ὑπὲρ τὴν ἐν τῷ λίθῳ θαυματοποιΐαν τοῖς ἀνθρώποις ἐδόκει. τούτου χάριν ὀλιγοστῶν ὄντων, καθὼς ἐν τοῖς φθάσασιν εἴρηται, τῶν πρὸ τῆς ἐπιστάσεως αὐτοῦ καταδεξαμένων τὴν πίστιν ὡς πάσης τῆς πόλεως αὐτοῦ τὴν ἱερωσύνην τιμώσης οὕτως εἰσῄει στενοχωρούμενος ἀπανταχόθεν τοῖς παραπέμπουσιν.

Ἐπεὶ δὲ πάντων εὐθὺς ὅτε τῆς φιλοσοφίας ἥπτετο, καθάπερ τινὸς ἄχθους ἑαυτὸν ἠλευθέρωσε καὶ περιῆν αὐτῷ τῶν πρὸς τὴν ζωὴν ἀναγκαίων οὐδέν, οὐκ ἀγρὸς οὐ τόπος οὐκ οἰκία, ἀλλὰ πάντα ἦν αὐτὸς ἑαυτῷ, μᾶλλον δὲ ἡ ἀρετὴ καὶ ἡ πίστις πατρὶς ἦν αὐτῷ καὶ ἑστία καὶ πλοῦτος, ὡς οὖν τῆς μὲν πόλεως ἐντὸς ἦν, οἶκος δὲ αὐτῷ πρὸς ἀνάπαυσιν οὐδαμοῦ οὐ τῆς ἐκκλησίας οὐκ ἴδιος θορυβουμένων τῶν περὶ αὐτὸν 921 M.

14sq cf 15,25sqq

V^{c}SΛOEΩUX^{a} 1 ἐθέλοι Λ ante τοὺς δαίμονας add ἐξοικίζων τε καὶ ἐνοικίζων O τὰ δαιμόνια ΩUX^{a} ante ὥσπερ add ἐξοικίζων E ἐξοικίζων τε (ἐξοικίζονται V^{c}) καὶ εἰσοικίζων (ἐνοικ- X^{a}) V^{c}SΛΩUX^{a} post ὥσπερ add τὰ v ἐκεῖνον Ov 4 δὲ: δὴ SΛ 5 ἐπεὶ δὲ V^{c} ἐπεὶ E ἐπεί τε U καθαυτοὺς O κατὰ ταὐτὸν E ἀτενῶς εἰς ἐκεῖνον Ω ἀτενὲς εἰς ἐκεῖνον UX^{a} ἀτενὲς E 6 ὕλη ἄψυχος E 7 post ἐντυγχανόντων add τὰς ὄψεις Ω στρεφόμενος Ων καὶ: om Λ ἀλλὰ Ω 9 πρώτος (sic) O πρῶτος V^{c} πρῶτον EX^{a} 9-10 πόλιν μεγάλην UX^{a} 10 τοσαύτης Ov συνηθείας: post μηδεμιᾶς coll ΛO post αὐτῷ Ω προϋπαρχούσης αὐτῷ Ov 11 ἐκείνον (sic) X^{a} ἐκεῖνον U 12 πρὸς prius om O 13 ἐπιστρεφόμενον ἠθροισμένων coll Ev 14 ἐν τῷ λίθῳ: τοῦ λίθου UX^{a} τῶν λίθων S (τῷ λίθῳ Ath Doch 5) 15 ὀλιγοστῶν: ὁ λόγος τῶν E ἐπιστάσεως: ἐπιστασίας ΛOUX^{a}v 16 ὡς — τιμώσης (17) om E πάσης post αὐτοῦ coll Ω ὡς πάσης et αὐτοῦ om V^{c}S 17 εἰσίει V^{c} πανταχόθεν UX^{a} 19 ἐπειδὴ V^{c} ἐπειδὴ δὲ OΩUX^{a} ante εὐθὺς add ὁμοῦ v 20 καίπερ ἦν V^{c}Ev καὶ ἦν SO post ζωὴν add ταύτην ΩUX^{a} οὐδὲν ἀναγκαῖον ΩUX^{a}(-καίον) ἀναγκῶν E 22 ἡ alt om V^{c} ante πατρὶς add καὶ V^{c}O αὐτῷ ἦν coll Ev 24 αὐτῶν X^{a} (corr m rec)

καί, ὅπως ἂν καταχθείη καὶ παρὰ τίνι τὴν σκέπην εὕροι, διαποροῦντων ,,Τί ταῦτα'', φησὶ πρὸς αὐτοὺς ὁ διδάσκαλος, ,,ὥσπερ ἔξω τῆς τοῦ θεοῦ σκέπης ὄντες διαπορεῖτε, ὅπου χρὴ διαναπαῦσαι τὰ σώματα; μικρὸς ὑμῖν οἶκος ὁ θεὸς εἶναι δοκεῖ, εἴπερ 'Εν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν; ἢ στενοχωρεῖσθε τῇ οὐρανίῳ σκέπῃ καὶ ζητεῖτε παρὰ τοῦτο καταγώγιον ἄλλο; εἰς οἶκος ὑμῖν ἔστω διὰ σπουδῆς ὁ ἑκάστου ἴδιος, ὁ διὰ τῶν ἀρετῶν οἰκοδομούμενος καὶ εἰς ὕψος ἀνατεινόμενος. τοῦτο λυπείτω μόνον, μὴ τὸ τοιοῦτον ὑμῖν οἰκητήριον ἀπαράσκευον ᾖ. αἱ γὰρ τῶν γηΐνων τοίχων περιβολαὶ τοῖς ἐν ἀρετῇ ζῶσι κέρδος οὐ φέρουσι, μᾶλλον δ' ἂν εἰκότως ὑπὸ τῶν ἐν κακίᾳ μολυνομένων ἡ τῶν τοίχων χρεία σπουδάζοιτο, διότι προκάλυμμα πολλάκις τῶν κρυπτῶν τῆς αἰσχύνης ὁ οἶκος γίνεται. οἷς δὲ δι' ἀρετῆς ἡ ζωὴ κατορθοῦται, οὐκ ἔχουσιν οἱ τοῖχοι ὅ τι περικαλύφουσιν.'' ταῦτα δὲ πρὸς τοὺς συνόντας διεξιόντος ἐπιστάς τις τῶν ἐπισήμων ἀνὴρ γένει καὶ πλούτῳ καὶ τῇ λοιπῇ δυναστείᾳ τοῖς πρώτοις ἐναρίθμιος ὤν, Μουσώνιος ὄνομα τῷ ἀνδρί, ὡς εἶδε πολλοὺς περὶ τὴν αὐτὴν σπουδὴν προθυμουμένους, ὅπως ἂν τοῖς ἰδίοις οἴκοις τὸν ἄνδρα δέξαιντο, φθάσας τοὺς ἄλλους ὑφαρπάζει τὴν χάριν ἑαυτῷ παρακαλῶν ἐπιξενωθῆναι τὸν μέγαν καὶ τιμῆσαι τῇ εἰσόδῳ τὸν οἶκον, ὡς ἂν σεμνότερός τε καὶ ἀοίδιμος τῷ μετὰ ταῦτα γένοιτο βίῳ τοῦ χρόνου καὶ τοῖς ἐφεξῆς τὴν μνήμην τῆς τοιαύτης τιμῆς παραπέμποντος. ἐπεὶ δὲ καὶ ἄλλοι πολλοὶ συνδραμόντες περὶ τῶν ὁμοίων ἱκέτευον, δίκαιον εἶναι κρίνας δοῦναι τὴν χάριν τῷ προκατάρξαντι τοὺς ἄλλους διὰ τῆς τῶν λόγων φιλοφροσύνης ἀσπασάμενός τε καὶ ἀντιτιμήσας παρὰ τῷ προλαβόντι κατάγεται.

Εἰ δὲ διηγηματική τίς ἐστι καὶ ἀκατάσκευος τῶν περὶ αὐτοῦ λόγων ἡ ἱστορία τὰς ἐκ περινοίας τινὸς ἐφευρισκομένας τοῖς πράγμασιν ἐπαυ-

---

4-5 Act 17,28

V^{c}SΛOEΩUX^{a} 1 καί pr: τὸ Λ post καὶ alt add τὸ S ante καὶ alt add ἢ Ω 2 ὁ διδάσκαλος πρὸς αὐτοὺς coll O 4 ante μικρὸς add μὴ SΛΩ ὑμῖν ex ἡμῖν corr S εἶναι ὁ θεὸς coll Ev 5 οὐρανίᾳ V^{c}SΩ 5-6 παρὰ τούτῳ V^{c} παρ' αὐτοῦ E 6 ὁ om SO 7 καὶ — ἀνατεινόμενος om V^{c}Λ 8 ἡμῖν OEUv ἀπαρασκεύαστον Ω ἦν V^{c} 10 φέρωσιν X^{a} ἄν: α in rasuram scr m rec ut vid O 11 τοίχων: τοιοῦτον V^{c} τοιούτων S σπουδάζεται V^{c}SOv 12 ἡ ζωὴ: ὁ βίος V^{c}SOv κατορθοῦται: σπουδάζεται V^{c}S ἐσπούδασται Ov 13 περικαλύψωσιν v δὲ om OΩ συνέντας v 14 διεξιόντας O (an διεξιόντα?) post διεξιόντος add τοῦ μεγάλου Γρηγορίου Ω ἀνὴρ: om SΛ post γένει add τε ΛUX^{a} 15 ὤν om UX^{a} τοὔνομα (τῷ ἀνδρὶ om) Λ 16 ὡς εἶδε: οὗτος ἰδὼν EΩUX^{a} 17 ante τοῖς add ἐν ΩUX^{a} δέξοιντο Ov ἄλλους: πολλοὺς Ω 18 παρακαλῶν ἐν αὐτῷ Λ 19 μετ' αὐτὰ V^{c} 20 γένηται OΩ post μνήμην add καὶ Ω 21 παραπέμποιτο E πολλοὶ om V^{c} πολλοὶ καὶ ἄλλοι coll Λ 22 καθικέτευον UX^{a} τῷ: τὸ V^{c} κατάρξαντι V^{c}O 23 διασπασάμενος Ev ἀντασπασάμενος UX^{a}

ξήσεις ἐκουσίως τοῦ ἡμετέρου παραλείποντος λόγου, γένοιτο ἂν καὶ αὐτὴ τοῖς ὀρθῶς τὰ πράγματα κρίνουσιν οὐ μικρὰ μαρτυρία τοῦ μηδὲν δι' ἐπινοίας ἐπαύξεσθαι τοῦ μνημονευομένου τὰ θαύματα, ἀλλ' ἀρκεῖν τὴν μνήμην τῶν κατ' αὐτὸν πραγμάτων πρὸς τελειότατον ἔπαινον οἷόν τι κάλλος αὐτοφυὲς ἐπὶ προσώπου οὐδεμιᾷ περιεργίᾳ κομμωτικῆς τέχνης ἐπανθιζόμενον. ὄντων δὲ τῶν προκατηχημένων τὸν λόγον ἐν ὀλίγῳ τῷ ἀριθμῷ πρὶν παρελθεῖν τὴν ἡμέραν καὶ ἐν δυσμαῖς γενέσθαι τὸν ἥλιον τοσοῦτοι παρὰ τὴν πρώτην συντυχίαν προσέθεντο, ὥστε πρὸς σύστημα λαοῦ τὸ πλῆθος τῶν πεπιστευκότων ἱκανῶς ἔχειν. ὄρθρος, καὶ πάλιν ἐπὶ θύραις ὁ δῆμος, αὐτοὶ καὶ γυναῖκες καὶ παῖδες καὶ τὸ γηραιὸν τῆς ἡλικίας καὶ οἷς τισιν ἦν ἐκ δαιμόνων ἢ ἐξ ἄλλης τινὸς ἐπηρείας συμφορὰ περὶ τὸ σῶμα, καὶ ἐν μέσοις ἐκεῖνος πρὸς τὴν ἑκάστου τῶν συνειλεγμένων χρείαν ἁρμοδίως τῇ δυνάμει τοῦ πνεύματος μεριζόμενος κηρύσσων συνεξετάζων νουθετῶν διδάσκων ἰώμενος. τούτῳ γὰρ δὴ μάλιστα προσῆγε τοὺς πολλοὺς τῷ κηρύγματι, ὅτι συνέβαινεν ἡ ὄψις τῇ ἀκοῇ καὶ δι' ἀμφοτέρων τῆς θείας δυνάμεως ἐπέλαμπεν αὐτῷ τὰ γνωρίσματα. τὴν μὲν γὰρ ἀκοὴν ὁ λόγος, τὰς δὲ ὄψεις τὰ περὶ τοὺς ἀσθενοῦντας ἐξέπληττε θαύματα. ὁ πενθῶν παρεκαλεῖτο, ὁ νέος ἐσωφρονίζετο, ὁ γηραιὸς τοῖς καθήκουσι λόγοις ἐθεραπεύετο. δοῦλοι πρὸς δεσπότας οἰκείως ἔχειν, οἱ κρατοῦντες τοὺς ὑποχειρίους φιλανθρωπεύεσθαι, ὁ πενόμενος ἕνα πλοῦτον εἶναι τὴν ἀρετὴν ἐδιδάσκετο, ἧς πᾶσι πρόκειται κατ' ἐξουσίαν ἡ κτῆσις, ὁ τῷ πλούτῳ κομῶν καταλλήλως ἐνουθετεῖτο οἰκονόμος εἶναι τῶν προσόντων οὐ κύριος διδασκόμενος. γυναιξὶ τὰ πρόσφορα, παισὶ τὰ σύμμετρα, πατράσι τὰ πρέποντα νέμων καὶ πᾶσι πάντα γινόμενος τοσοῦτον ἑαυτῷ λαὸν ἀθρόως τῇ 924 M.

18 ὁ πενθῶν cf Matth 5,4 ὁ νέος cf Tit 2,6 19 ὁ γηραιὸς cf I Tim 5,1 19-20 cf Eph 6,5.9; Col 4,1 25 I Cor 9,22

V^{c}SΛOEΩUX^{a} 1 παραλιπόντος OEΩν 2 αὕτη O 3 δι': ἐξ Λ ἐπαύξασθαι X^{a} τῷ μνημονευομένῳ EΩX^{a}ν τῶν μνημονευομένων U 4 τελειώτατον Ω τελεώτατον Λ E 5 ἐπὶ: εἶναι UX^{a} 6 τῶν: καὶ X^{a} προκατηχουμένων V^{c}SOν 7 τῷ ἀριθμῷ om V^{c} post πρὶν add ἢ Ω 8 τοσοῦτον E πρώτην om ν 9 ναοῦ Λ 10 post αὐτοὶ add τε OΩν γηραλέον Ω 11 οἷς τισιν: εἴ τις E ἦν om E post ἦν add ἢ S συμφορὰ: ἢ συμφορᾶς E ἡ συμφορὰ ν 14 τοῦτο V^{c}ΩX^{a} δὴ om V^{c} 15 προσῆγε: προσήγετο V^{c}SΛOEUX^{a}ν τοὺς om V^{c}SO 16 δι' om S ἔλαπεν (sic) X^{a} (m rec sscr μ) 17 γὰρ om Λ 18 θαύμα (sic) O (corr m rec) 19 ὁ γηραιὸς: καὶ S δούλοις O 20 τοὺς ὑποχειρίους: τοῖς ὑποχειρίοις SΛEΩUX^{a}ν 21 οἱ πενόμενοι ΩX^{a} εἶναι om E ἧς: ἥτις V^{c}SΛOν 22 ἡ om V^{c}SΛ κτίσις E κομῶν: μ ex alia litt corr m rec X^{a} καταδήλως E 24 παισὶ: -σ- corr ex -ντ- ut vid m rec O παισὶ — σύμμετρα om S σύμμετρα: συμφέροντα X^{a} post σύμμετρα add φέροντα U 25 πάντα πᾶσι coll V^{c}ΛEΩ γενόμενος ν ἀθρόως post παρεστήσατο (28,1) coll V^{c}SO

συνεργίᾳ τοῦ πνεύματος παρεστήσατο ὥστε πρὸς ναοῦ κατασκευὴν ὁρμῆσαι πάντων χρήμασί τε καὶ σώμασι πρὸς τὴν σπουδὴν ὑπουργούντων. οὗτός ἐστιν ὁ ναὸς ὁ μέχρι τοῦ παρόντος δεικνύμενος, ὃν ὁ μέγας ἐκεῖνος εὐθὺς ἐπιστὰς οἷόν τινα θεμέλιον καὶ κρηπῖδα τῆς ἰδίας ἱερωσύνης προκατεβάλετο θείᾳ τινὶ ὁρμῇ καὶ συνεργίᾳ κρείττονι περαιώσας τὸ ἔργον ὡς τῷ μετὰ ταῦτα μαρτυρεῖται χρόνῳ. σεισμοῦ γάρ ποτε βαρυτάτου τῇ πόλει ἐν τοῖς καθ' ἡμᾶς χρόνοις γεγενημένου καὶ πάντων μικροῦ δεῖν ἄρδην ἀπολωλότων τῶν τε δημοσίων καὶ τῶν ἰδιωτικῶν οἰκοδομημάτων ἁπάντων ἐρειπωθέντων μόνος ἔμεινεν ὁ ναὸς ἐκεῖνος ἀρραγής τε καὶ ἄσειστος, ὡς καὶ διὰ τούτου φανερὸν εἶναι μεθ' οἵας δυνάμεως ὁ μέγας ἐκεῖνος τῶν κατ' αὐτὸν πραγμάτων ἀντελαμβάνετο.

Ἀλλὰ ταῦτα μὲν πολλοῖς ὕστερον χρόνοις εἰς μαρτυρίαν τῆς τοῦ μεγάλου πίστεως παρὰ τῆς θείας ἀπεδείχθη δυνάμεως. τότε δὲ τοῖς ἀποστολικοῖς θαύμασι τῶν τε κατὰ τὴν πόλιν καὶ τὴν περίοικον ἁπάντων ἐκπεπληγμένων καὶ πᾶν τὸ παρ' αὐτοῦ λεγόμενόν τε καὶ γινόμενον θείᾳ δυνάμει πράττεσθαί τε καὶ λέγεσθαι πεπιστευκότων οὐδὲ τῶν βιωτικῶν ἀμφισβητημάτων ἄλλο τι δικαστήριον ᾤοντο εἶναι αὐτοῖς κυριώτερον, ἀλλὰ πᾶσα κρίσις καὶ πᾶσα δυσδιεξόδευτος πραγμάτων πλοκὴ ταῖς ἐκείνου συμβουλίαις διελύετο. ὅθεν εὐνομία τε καὶ εἰρήνη κοινῇ τε πᾶσι καὶ τοῖς καθ' ἕκαστον διὰ τῆς ἐκείνου χάριτος ἦν καὶ πολλὴ τῶν ἀγαθῶν ἡ ἐπίδοσις ἰδίᾳ τε καὶ κοινῇ μηδεμιᾶς κακίας τὴν πρὸς ἀλλήλους ἐπικοπτούσης ὁμόνοιαν. οὐκ ἄκαιρον δ' ἂν ἴσως εἴη μιᾶς αὐτοῦ κρίσεως μνήμην ποιήσασθαι, ὡς ἂν κατὰ τὴν παροιμίαν ὅλον ἡμῖν γένηται καταφανὲς ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα. καὶ γὰρ ἡ θεία γραφὴ
925 M. πολλὰς τοῦ Σολομῶντος κρίσεις τοῖς ὑπηκόοις δικάσαντος ἠρκέσθη διὰ μιᾶς πᾶσαν τοῦ ἀνδρὸς παραστῆσαι τὴν σύνεσιν· ὅτε ταῖς δύο μητράσι

V^{c}SΛOEΩUX^{a} 1 post τοῦ add ἁγίου S ὥστε: ὡς V^{c}S 3 post ναὸς add οὗ τὰς ἀρχὰς τῆς κατασκευῆς κατεβάλλετο, ἐπεκαλλώπισε δέ τις τῶν μετ' ἐκεῖνον ἐκείνου ἀξίως Ev (κατεβάλετο) ὃν: ὁ O (corr m rec) 3-4 ἐκεῖνος ὁ μέγας coll V^{c} 4 ἐκεῖνος: Γρηγόριος Ω θεμέλιόν τινα UX^{a} 5 προκατεβάλετο: τῷ περιφανεστάτῳ τῆς πόλεως ἐναπέθετο v ὁρμῇ τινι coll Λ ἐνεργείᾳ Λ ὁρμῇ — κρείττονι: δυνάμει V^{c}SOEv περαιώσας: τελειώσας v σπουδάσας περὶ E περαιώσας post ἔργον (6) coll ΩUX^{a} 6 τῷ: τὸ X^{a} τε V^{c} 7 τὴν πόλιν E γεγενημένου: κλονήσαντος E 8 δεῖν: δ' ἂν X^{a} (corr m rec) τῶν τε δημοσίων om S 9 ἐρημωθέντων V^{c}O ἐρειπιωθέντων sic καὶ ἐρημωθέντων v 10 post εἶναι add καὶ v 11 καθ' ἑαυτὸν UX^{a} καθ' ἑαυτῶν Λ 12 τοῦ om U 13 post μεγάλου add Γρηγορίου Ω τότε δὲ: τὸ δὲ μεῖζον ὅτι Ω 16 λέγεσθαι: τελεῖσθαι Ω (sed coll τελ. τε καὶ πράττ.) UX^{a} οὐδὲν S 17 ἀμφισβητισμάτων V^{c} 19 post ἐκείνου add προτάσσει (sic) καὶ Ω συμβουλαῖς UX^{a} τε alt om Λ post τε alt add καὶ SEv 20 καὶ pr om O 22 ἐπισκοπτούσης Ω ἐπισκωπτούσης O ὁμόνοιαν post ἀλλήλους coll ΛEΩU X^{a}v ante μιᾶς add καὶ Ω 23 μνείαν E (sed sscr μνήμην) ὑμῖν Ω 24 γένηται: post ὕφασμα coll S γένοιτο ΛUX^{a} τὸ: τοῦ O (sed corr ead m) 26 τοῦ ἀνδρὸς post σύνεσιν coll U

δικάζων, ἐπειδὴ ἀνεξέλεγκτον ἦν τὸ ἀδίκημα κατὰ τὸ ἴσον ἑκατέρας αὐτῶν τὸ μὲν τεθνηκὸς παιδίον οὐ προσιεμένης τοῦ δὲ περιόντος ἀντεχομένης, ἔγνω δι' ἐπινοίας ἀνιχνεῦσαι τὴν κεκρυμμένην ἀλήθειαν. ἐπειδὴ γὰρ ἀμάρτυρον ἦν τὸ ἀδίκημα καὶ ἰσοστάσιος ἐφ' ἑκατέρων ἥ τε τοῦ ψεύδους καὶ ἡ τῆς ἀληθείας ὑπόνοια, τὴν φύσιν εἰς μαρτυρίαν τῆς ἀληθείας ἑαυτῷ παρεστήσατο διὰ τῆς σεσοφισμένης ἀπειλῆς τὸν σκοπὸν τῆς διανοίας ἐπικρυψάμενος. προστάξας γὰρ δῆθεν τοῦ τε περιόντος καὶ τοῦ τεθνηκότος κατὰ τὸ ἴσον ξίφει διατμηθέντων ἀμφοτέραις προσνεμεθῆναι τὰ τῶν τέκνων ἡμίτομα παρέδωκε τῇ φύσει τῆς ἀληθείας τὴν κρίσιν. ὡς γὰρ ἡ μὲν ἀσμένως τὸ προστεταγμένον ἐδέξατο καὶ τὸν δήμιον ἤπειγεν, ἡ δὲ συγκινηθεῖσα τοῖς μητρῴοις σπλάγχνοις ἡττῆσθαι διωμολόγει φείσασθαι τοῦ τέκνου παρακαλοῦσα — χάριν γὰρ εἶχεν, εἰ ὁπωσοῦν τὸ νήπιον σῴζοιτο —, τοῦτο κριτήριον τῆς ἀληθείας ὁ βασιλεὺς ποιησάμενος τῇ κατὰ τὸ ἑκούσιον ἡττηθείσῃ τὴν νικῶσαν ψῆφον χαρίζεται λογισάμενος, ὅτι ἡ ἀφειδοῦσα τῆς τοῦ τέκνου σφαγῆς κατηγορεῖται παρὰ τῆς φύσεως ὡς οὐκ οὖσα μήτηρ ἐκείνου, οὗ κατεπείγει τὸν θάνατον. τίνα τοίνυν καὶ ἡμεῖς τοῦ μεγάλου Γρηγορίου κρίσιν διηγησώμεθα;

Δύο τινὲς ἀδελφοὶ νέοι τὴν ἡλικίαν ἄρτι τὸν πατρῷον ἐν ἑαυτοῖς διελόμενοι κλῆρον λίμνης ἀντεποιοῦντο μιᾶς πᾶσαν ἔχειν φιλονεικοῦντες ἑκάτερος καὶ οὐ παραδεχόμενος τὸν ἄλλον εἰς κοινωνίαν τῆς κτήσεως. γίνεται οὖν τῆς δίκης κύριος ὁ διδάσκαλος καὶ κατὰ τὸν τόπον γενόμενος τοῖς ἰδίοις ἑαυτοῦ νόμοις ἐκέχρητο πρὸς τὴν δίαιταν εἰς καταλλαγὰς

1sqq cf III Regn 3,16sqq 19sqq cf Syr c 9; Rufin Euseb hist eccl VII 28,2 (p 953 Schwartz-Mommsen); Greg Magn dial I,7

V^{c}SΛOEΩUX^{a} 1 δικάζει E ἐπεὶ δὲ E ἀνέλεγκτον V^{c}ΩUX^{a} ἀνέγκλητον E ἴσων X^{a} 2 προιεμένης EΩ 4 γὰρ om Λ post ἰσοστάσιος add ἦν X^{a} ἐφ': ἀφ' X^{a} ἑκατέρου Ω post ἑκατέρων add ἦν V^{c} 5 ἡ om SΩX^{a} 7 τε om E 8 περιόντος: ζῶντος E post τεθνηκότος add τὸ σῶμα Ev διατμηθῆναι E ἀμφοτέροις O ante ἀμφοτέραις add καὶ ταῖς E 9 διανεμηθῆναι Ω 10 post κρίσιν add τοῦ πράγματος UX^{a}v προσταχθὲν V^{c}O 11 ἐπῆγεν E 12 ἡττεῖσθαι Ω ἡττᾶσθαι V^{c} χάριν γὰρ: καὶ χάριν ΛE 13 ἔχειν EUX^{a} εἰ om U 13-14 τῆς ἀληθείας post βασιλεὺς coll ΛO post ποιησάμενος Ω 14 τὸ: τὸν X^{a} ἡττηθείσῃ om v 16 ante ὡς add καὶ Ov ὡς om Ω κατεπίγει V^{c} κατηπείγει Ω κατείπηγε U κατηπείγετο X^{a} 17 κρίσιν post ἡμεῖς coll v 18 διηγησόμεθα V^{c}ΛEΩX^{a}v 19 τὸν: τῶν UX^{a} πατρῴων X^{a} (corr m rec) ἐν om ΛΩUX^{a} ἑαυτοῖς: om Ω αὐτοῖς Λ (sed corr) UX^{a} 20 κλῆρον: post πατρῷον (19) coll S πλοῦτον U 20-21 φιλονεικοῦντος ἑκατέρου ... παραδεχομένου Λ 21 ἑκάτερος ante πᾶσαν (20) coll S τῶν ἄλλων V^{c} τὸν ἕτερον Λ post ἄλλον add ὁ ἕτερος Ev ὁ ἄλλος τὸν ἕτερον UX^{a} κτίσεως V^{c}E 22 οὖν om V^{c}ΛE 23 αὐτοῦ OEΩX^{a}v

ἄγων καὶ συμβῆναι παρακαλῶν διὰ φιλίας τοὺς νέους καὶ τὸ τῆς εἰρήνης κέρδος προτιμότερον τῶν ἐκ τῆς προσόδου ποιήσασθαι. †τὸ μὲν γὰρ εἰς ἀεὶ παραμένει καὶ ζῶσι καὶ τελευτήσασιν, τῶν δὲ πρόσκαιρον μὲν τὴν ἀπόλαυσιν, αἰωνίαν δὲ τὴν ἐπὶ τῇ ἀδικίᾳ κατάκρισιν καὶ ὅσα εἰκὸς ἦν ἐκεῖνον λέγειν καταστέλλοντα τὸ ἀτακτοῦν τῆς νεότητος†. ἐπεὶ δὲ ἄπρακτος ἡ παράκλησις ἦν καὶ ἡ νεότης ἐφλέγμαινε καὶ εἰς θυμὸν ἐξεκαίετο πλείονα τῇ ἐλπίδι τοῦ κέρδους περιοιδαίνουσα καὶ στρατὸς ἑκατέρωθεν ἐκ τῶν ὑποχειρίων παρεσκευάζετο καὶ πολυχειρία φονῶσα θυμῷ καὶ νεότητι στρατηγουμένη καὶ ὥριστο τῆς συμπλοκῆς ὁ καιρός, μελλούσης κατὰ τὴν ὑστεραίαν τῆς μάχης ἐξ ἑκατέρων συρρήγνυσθαι παραμείνας ταῖς ὄχθαις τῆς λίμνης ὁ τοῦ θεοῦ ἄνθρωπος καὶ διακαρτερήσας ἐν ἀγρυπνίᾳ τὴν νύκτα Μωσαϊκήν τινα θαυματουργίαν ἐπὶ τοῦ ὕδατος ἔδειξεν οὐ πληγῇ ῥάβδου πρὸς δύο τμήματα τὸν βυθὸν διασχίσας, ἀλλὰ πᾶσαν αὐτὴν ἀθρόως ἀποχερσώσας ἤπειρον ἔδειξεν τῷ ὀρθρῷ
928 M. τὴν λίμνην ξηράν τε καὶ ἄνικμον, ὡς μηδὲ ἐν τοῖς κοίλοις ἔχειν τι τοῦ ὕδατος λείψανον τὴν πρὸ τῆς εὐχῆς πελαγίζουσαν. καὶ ὁ μὲν ταῦτα τῇ θείᾳ δυνάμει δικάσας πάλιν πρὸς ἑαυτὸν ἀνεχώρει, τοῖς δὲ νέοις ἡ ἐκ τῶν ἔργων ἀπόφασις τὴν φιλονεικίαν διέλυσεν. μὴ γὰρ ὄντος ὑπὲρ οὗ τὸν κατ' ἀλλήλων ἐξηρτύοντο πόλεμον, εἰρήνη τὸν θυμὸν διεδέξατο καὶ πάλιν ἑαυτὴν ἐν τοῖς ἀδελφοῖς ἡ φύσις ἐγνώρισε. καὶ νῦν ἔστιν ἰδεῖν τῆς θείας ἐκείνης ἀποφάσεως ἐναργῆ τὰ σημεῖα. κύκλῳ γὰρ τῆς ποτε λίμνης ἴχνη τινὰ τῆς τοῦ ὕδατος ἐπικλύσεως εἰς ἔτι καὶ νῦν διασῴζεται. τὸ δὲ ὅσον βύθιον ἦν τότε καὶ ἐν πυθμένι τοῦ ὕδατος, ἅπαν μετεσκευάσθη πρὸς ἅλση καὶ οἴκησιν καὶ λειμῶνας καὶ ἄρουσιν.

Ταύτης οἶμαι τῆς δίκης μηδ' ἂν αὐτὸν ἐκεῖνον τὸν ὀνομαστὸν Σολο-

---

12-14 cf Exod 14,16sqq 15 cf Basil de spir sanct 29 (Migne PG 32,205C)

V^{c}SΛOEΩUX^a 1 συμβιβασθῆναι Ω 2 τῶν: τοῦ EUX^a τὸν V^c τῶν προσόδων U προόδου V^c τὸ: τὴν Ov τὸ — νεότητος (5) non elaboratum videtur, cf praef p CXXVI 3 μένει Λ διαμένει Ω παραμένειν Ov τετελευτήσασι Ω τελευτῶσι E τῶν: τὸ SΛE post μὲν add εἶναι Ω 4 αἰώνιον E τῇ ἐπὶ τῇ O τῇ ἐπὶ τὴν v post κατάκρισιν add ἔχει SΛEv 5 κατὰστελλον (sic) V^c ἄτακτον V^{c}UX^a ἐπειδὴ δὲ UX^a 6 ἄτακτος post παράκλησις coll UX^a ἦν post ἄπρακτος coll v 7 πλείονι v 8 παρεσκευάζετο: ἐστρατεύετο Λ, sed adscr ead m in margine παρεσκευάζετο καὶ om v 9 καὶ θυμῷ coll U νεότης UX^a ὀργῇ E καὶ ante ὥριστο om E 10 post μελλούσης add δὲ Ev 12 post νύκτα add πᾶσαν Ω 13 πρὸς: εἰς Ω 14 post ἀλλὰ add εὐχῇ v ἀθρόως om E ἔδειξεν: ἐποίησεν EUX^a τῷ ὄρθρῳ om UX^a 14-15 τῷ — λίμνην om E 17 ἀνεχώρει: ᾤχετο SΛ (sed ante πρὸς coll) 18 ὄντως U ὑπόντος Ω post ὄντος add τοῦ v 19 τὸν pr: τῶν Ov τῶν (sic) Λ ἐξήρτυον V^{c}ΛOEv 20 ἡ φύσις ante ἐν coll S 23 δὲ om X^a ἦν βύθιον coll S καὶ om Λ post ἐν add τῷ Ov 24 πρὸς: εἰς V^{c}ΛOv λειμῶνας καὶ οἴκησιν Ω ἄρωσιν V^{c}Ω 25 τῆς: τῶς X^a οὐδ' O τὸν ὀνομαστὸν post Σολωμῶντα coll E

μῶντα τῶν πρωτείων ἀμφισβητῆσαι. τί γὰρ τοσοῦτον εἰς ἀρετήν· ἀποσῶσαι τὸ μητρῴων δύο μαζῶν βρέφος ἐνυπομάζιον, ᾧ τὸ ἴσον ἦν πάντως εἰς σωτηρίαν εἴτε παρὰ τῆς γεννησαμένης εἴτε καὶ παρὰ τῆς ἑτέρας αὐτῷ τὰ τῆς ἀνατροφῆς ἐσπουδάζετο, ἢ δύο νεανίαις βραβεῦσαι τὴν σωτηρίαν, οἳ νῦν ἐπὶ τὰ τοῦ βίου πράγματα παρελθόντες ἐν ἀκμῇ τῆς νεότητος κατ' αὐτὸ τῆς ἡλικίας τὸ ἄνθος τοῦ θυμοῦ πρὸς τὸν κατ' ἀλλήλων φόνον αὐτοὺς παροιστρήσαντος ἔμελλον θέαμα πικρὸν τοῖς τότε μετ' ὀλίγον ἐπιδειχθήσεσθαι κατ' ἀλλήλων τὰς χεῖρας ὁπλίσαντες, ἐφ' ᾧ ἐλπὶς ἦν ἢ ἀμφοτέρους ὑπ' ἀλλήλων φθαρήσεσθαι ἢ τὸν ἕνα γενέσθαι πάντως ἐν τῷ τῆς ἀδελφοκτονίας μιάσματι; — ἵνα παρῶμαι τοὺς ἑκατέρῳ τούτων συμπαρατασσομένους ἐν τῷ ἴσῳ θυμῷ, οἷς εἷς ὅρος τῆς κατ' ἀλλήλων ὁρμῆς ὁ τῶν ἀντιτεταγμένων θάνατος ἦν. ὁ τοίνυν ἤδη κατ' αὐτῶν κυρωθεῖσαν ὑπὸ τῆς τοῦ πονηροῦ στρατηγίας τὴν τοῦ θανάτου ψῆφον διὰ τῆς εὐχῆς ἀναλύσας καὶ τὴν φύσιν πάλιν πρὸς ἑαυτὴν καταλλάξας καὶ μεταβαλὼν εἰς εἰρηνικὰς εὐφροσύνας τὴν περὶ τοὺς φόνους σπουδὴν πόσῳ μᾶλλον ἂν εἰκότως ἐπὶ τῇ κρίσει θαυμάζοιτο παρὰ τὸν τῆς ἑταιρίδος τὴν κακουργίαν φωράσαντα; τὸ γὰρ ἐπὶ τῷ ὕδατι θαῦμα, πῶς ἀθρόως εἰς χέρσον μετεσκευάσθη τὸ πλόϊμον, πεδίον γενομένη κοῖλον ἡ λίμνη, καὶ πῶς ἡ ἀντὶ θαλάσσης οὖσα τῷ τόπῳ πρότερον νῦν πρὸς καρπῶν ἀνεῖται φοράν, τοῦτο σιγᾶν οἶμαι καλῶς ἔχειν μᾶλλον ἢ διεξιέναι τῷ λόγῳ μὴ δυναμένῳ κατ' ἀξίαν συνεπαρθῆναι τῷ θαύματι. τί γὰρ τοιοῦτον ἐν τοῖς ἀναγράπτοις θαύμασι μεμαθήκαμεν ὡς δύνασθαι εἰς ἴσον ἐλθεῖν τούτῳ διὰ συγκρίσεως; ἔστησεν ὁ τοῦ Ναυὴ Ἰησοῦς τὸ ῥεῖθρον τοῦ Ἰορδάνου, ἀλλ' ἕως ἡ

24-32,2 cf Ios 3

V^{c}SΛOEΩUX^{a} 2 τὸ pr om EUX^{a} ante μητρῴων add τῶν Ov τῷ μητρῴῳ μαζῷ (δύο om) EUX^{a} ἓν ὑπομάζιον V^{c}ΛΩ ἦν: ἢ Λ om E 3 πάντων X^{a} ἡ σωτηρία UX^{a} γεννησάσης UX^{a} γενησαμένης V^{c} καὶ om Λ 4 ἑαυτῷ Ov αὐτῶν E ἢ: καὶ ΛEΩUX^{a} νεανίας v 5 μετελθόντες Λ 6 τὸ ante τῆς coll S τῷ θυμῷ E 7 φόνον — ἀλλήλων (8) om U αὐτοῖς V^{c}ΛOv ἑαυτοὺς E παροιστρήσαντες E παριστωρήσαντος X^{a} φρικτὸν E ante τοῖς add ἐν E 8 κατ' — πάντως (10) om X^{a} καθ' ἑαυτῶν S τὰς χεῖρας om V^{c}O 9 καταφθαρήσεσθαι U 10 παρῶεν SE 11 ἑκατέρων U ἑκατέροις v παρατασσομένους ΛUX^{a} 13 κυριωθεῖσαν E 16 τοῦ φόνου ΩU νόμους Λ ἂν om Ev 17 παρὰ om X^{a} τοῦ ... φωρήσαντος X^{a} τὴν κακουργίαν τῆς ἑταιρίδος Ev τὴν τῆς ἑταιρίδος κακουργίαν U τὴν παρὰ τῆς ἑταιρίδος κακουργίαν X^{a} 18 τοῦ ὕδατος UX^{a} πλώϊμον Ov post πλόϊμον add καὶ EUv 19 πεδίον ἐγένετο καὶ Ev γενόμενον Ω 19-20 καὶ — πρότερον om U 20 ante πρότερον add τὸ V^{c}Ev νῦν om X^{a} ἀνεῖται: ἄνεισι V^{c}ΛOv ἀνέστη S ἀνίετο U ἀνίεται X^{a} 22 θαύματι: διηγήματι Ov τί γὰρ: τοιγαροῦν Ω 24 ῥεῖθρον post Ἰορδάνου coll ΛEUX^{a}v

κιβωτὸς ἦν ἐν τῷ ὕδατι. περαιωθέντος δὲ τοῦ λαοῦ καὶ τῆς κιβωτοῦ διελθούσης ἀπέδωκε πάλιν τῷ ῥείθρῳ τὸ σύνηθες. γυμνοῦται τοῦ ὕδατος ἐν τῷ Ἐρυθραίῳ πελάγει τὸ τῷ βυθῷ ὑποκείμενον ἀπωσθείσης ὑπὸ τοῦ πνεύματος ἐπὶ τὰ πλάγια τῆς θαλάσσης, ἀλλ' ὁ χρόνος τοῦ
929 M. θαύματος ἦν ἡ τοῦ στρατοῦ πάροδος ἡ διὰ τοῦ ξηροῦ κατὰ τὸν βυθὸν γενομένη. μετὰ τοῦτο δὲ πάλιν μία τοῦ ὕδατος ἡ ἐπιφάνεια γίνεται καὶ τὸ πρὸς ὀλίγον διαιρεθὲν συνεκλύσθη. ἐνταῦθα δὲ τὸ ἅπαξ γενόμενον ἔμεινεν οἷον ἐγένετο, ὡς μὴ ἀπιστεῖσθαι τῷ χρόνῳ τὸ θαῦμα διὰ τῶν φαινομένων εἰς τὸ διηνεκὲς μαρτυρούμενον. τὰ μὲν δὴ κατὰ τὴν λίμνην
10 λεγόμενά τε καὶ δεικνύμενα τοῦτον ἔχει τὸν τρόπον, ἕτερον δὲ μετὰ τοῦτο θαῦμα τοιοῦτον παρ' αὐτοῦ δείκνυταί τε καὶ μνημονεύεται·

Ποταμός τις παρ' αὐτοῖς διαρρεῖ τὸν χῶρον αὐτῷ τῷ ὀνόματι τὸ ταχὺ καὶ ἀνήμερον ἐπισημαίνων τοῦ ῥεύματος. Λύκος γὰρ διὰ τὸ βλαπτικὸς εἶναι τῶν προσοικούντων ἐπονομάζεται. οὗτος πολὺς μὲν
15 καὶ ἐκ τῶν πηγῶν καταφέρεται τῆς Ἀρμενίας διὰ τῶν ὑπερκειμένων ὀρῶν αὐτῷ δαφιλὲς ἐπιχορηγούντων τὸ ῥεῖθρον, κοῖλος δὲ πανταχοῦ τὰς ὑπωρείας τῶν κρημνῶν ὑπορρέων πολὺ μᾶλλον ταῖς χειμερίοις χαράδραις ἀποτραχύνεται πάσας εἰς ἑαυτὸν τὰς ἐκ τῶν ὀρῶν συρροίας ὑπολαμβάνων. ἐν δὲ τῷ ὑπτίῳ τῆς χώρας ἣν διεξέρχεται πολλάκις ταῖς
20 ἑκατέρωθεν κρηπῖσι στενοχωρούμενος κατά τι μέρος ὑπερεκχεῖτο τῆς ὄχθης κατὰ τὸ πλάγιον ἅπαν ἐπικλύζων τῷ ῥείθρῳ τὸ ὑποκείμενον, ὥστε συνεχεῖς κατὰ τὸ ἀπροσδόκητον τοῖς παροικοῦσι τῷ τόπῳ τοὺς κινδύνους ἐπάγεσθαι, ἀωρὶ τῶν νυκτῶν ἢ καὶ μεθ' ἡμέραν πολλάκις

2sqq cf Exod 14,21sqq 12sqq cf Syr c 8; Basil de spir sanct 29 (Migne PG 32,205C) 13 de Lyco flumine cf Strabo XII 3,15.30

V^{c}SΛOEΩUX^{a} 2 τὸ ῥεῖθρον V^{c}Ω 3 post ὕδατος add ποτὲ Ω τὸ: τῷ V^{c} om X^{a} τοῦ βυθοῦ Ov ἀποκείμενον U 4 ὑπὸ: ἐπὶ Λ ἀλλ' ὁ: ἀλλὰ ΛEΩUX^{a}v 5 τοῦ ante ξηροῦ om ΛEUX^{a}v ξηρᾶς ΛUX^{a} 6 γινομένη X^{a} καὶ μετὰ τοῦτο πάλιν Ω μία: ἅμα E ἡ UX^{a} ἡ om ΛUX^{a} 7 τὸ pr om Λ συνεκλείσθη SΛ 8 ὅσον V^{c}S 9 post μαρτυρούμενον add τῆς εὐχῆς τοῦ ἁγίου τὴν ἐνέργειαν V^{c}O δὴ: οὖν ΩU 10 λεγόμενά: γενόμενα ΩU δὲ: οὖν Ω 11 θαῦμα post δὲ (10) coll X^{a} τοιοῦτον om X^{a} 12 διαιρεῖ S 14 βλαπτικὸν V^{c}ΛOv ante τῶν add παρὰ OΩUv οὗτος: οὕτως v οὖ V^{c} πολὺς — καταφέρεται (15) om V^{c} πολὺ E 15 καὶ om X^{a} post Ἀρμενίας add τῆς χώρας v τῆς φορᾶς EX^{a} διὰ om ΛΩ 16 αὐτῷ: om V^{c}U ante διὰ coll OEX^{a}v post ἐπιχορηγούντων coll Ω ἐπιχορηγούσης OEUX^{a}v 17 τὰς: τῆς S ὑπορροίας SΩ ὑπουρίας V^{c} ἐπιρρέων Ω χειμερίαις OEX^{a}v 18 χαράδραις om X^{a} ἐκ om U ὀρέων Λ 19 ἀπολαμβάνων UX^{a} ἣν: ἧς E δι' ἧς Ov 20 ὑπερεχεῖτο X^{a} ὑπερχεῖτο E^{c} ὑπερεκχεῖται SΛΩU ὑπερχεῖται Ov ταῖς ὄχθαις U 21 τὸ alt om Λ ὑπερκείμενον Ov 22 τοῖς: τοὺς X^{a} προσοικοῦσι X^{a} 23 ἐπάγεσθαι ante ἢ coll S τῶν νυκτῶν: νύκτωρ X^{a}

τοῦ ποταμοῦ τοῖς ἀγροῖς ἐπεμβαίνοντος. ὅθεν οὐ φυτὰ μόνον καὶ σπέρματα καὶ βοσκήματα τῇ τῶν ὑδάτων φορᾷ διεφθείρετο, ἀλλὰ καὶ αὐτῶν ἥπτετο τῶν οἰκητόρων ὁ κίνδυνος ἀπροόπτως ἐν τῇ ἐπικλύσει τοῦ ὕδατος ἐν ταῖς οἰκίαις ναυαγούντων. τῶν τοίνυν προκατορθωθέντων τῷ μεγάλῳ θαυμάτων εἰς ἅπαν διαπεφοιτηκότων τὸ ἔθνος ἀναστάντες οἱ κατὰ τὸ μέρος ἐκεῖνο τῷ ποταμῷ προσοικοῦντες αὐτοὶ καὶ γυναῖκες καὶ παῖδες πανδημεὶ πάντες ἱκέται τοῦ μεγάλου γίνονται δεόμενοι λύσιν αὐτοῖς τινα τῶν κακῶν ἐξ ἀνελπίστων πορίσασθαι· πάντα γὰρ ἐν αὐτῷ τὸν θεὸν δύνασθαι ὅσα ταῖς ἀνθρωπίναις ἐπινοίαις ἐστὶν ἀμήχανα. μηδὲν γὰρ τῶν εἰς βουλήν τε καὶ δύναμιν ἀνθρωπίνην ἡκόντων παρ' αὐτῶν ἐλλειφθῆναι λίθοις καὶ χώμασι καὶ εἴ τι ἄλλο πρὸς τὰ τοιαῦτα τῶν κακῶν εἴωθεν ἐπινοεῖσθαι πάντα πεποιηκότων καὶ ἀντισχεῖν πρὸς τὴν τοῦ κακοῦ μὴ δυνηθέντων φοράν. καὶ ὡς ἂν μάλιστα παρ' αὐτῶν ἐναχθείη πρὸς ἔλεον, αὐτόπτην ἠξίουν γενέσθαι τῆς συμφορᾶς καὶ μαθεῖν, ὡς οὔτε μεταθεῖναι δυνατῶς εἶχον τὴν οἴκησιν καὶ ὅτι πάντοτε αὐτοῖς ὁ θάνατος ἐπὶ τῇ ὁρμῇ κεῖται τοῦ ὕδατος. γενόμενος τοίνυν κατὰ τὸν τόπον — οὐδεὶς γὰρ ὄκνος αὐτῷ τὴν πρὸς τὸ ἀγαθὸν σπουδὴν διεκώλυεν — οὔτε ὀχήματος οὔτε ἵππων οὔτε ἄλλου τινὸς τῶν διαγαγεῖν αὐτὸν δυναμένων προσδεηθείς, ἀλλὰ βακτηρίᾳ τινὶ στηριζόμενος πᾶσαν διήνυσε τὴν ὁδὸν καὶ ἅμα προσφιλοσοφῶν τοῖς τῆς ὁδοῦ κοινωνοῦσιν αὐτῷ περὶ τῆς ὑψηλοτέρας ἐλπίδος, ἐν οἷς ἀεὶ κατὰ τὸ προηγούμενον διατρίβων τὰ ἄλλα πάρεργα τῆς προτιμοτέρας ἐποιεῖτο σπουδῆς, — ὡς οὖν ὑπεδείχθη παρά τε τῶν προκαθηγησαμένων ἡ τοῦ ῥείθρου παρατροπὴ καὶ αὐτὸ τὸ φαινόμενον τὴν συμφορὰν διηρμήνευεν εἰς βαθεῖαν ἐκχαραδρωθέντος τοῦ τόπου φαράγγα διὰ τῆς τῶν ὑδάτων ἐμπτώσεως, ταῦτά φησι πρὸς τοὺς συνειλεγμένους· ,,Οὐκ 932 M.

19 βακτηρίᾳ haud scio an pro imagine accipiendum sit, cf Greg Nyss Ascens IX 324,11; Theodoret Cyr in psalm 22,4 (Migne PG 80,1028A sq)

V^{c}SΛOEΩUX^{a} 3 ἐν om S 4 ἐν om Λ τοῖς οἴκοις U οἰκείαις X^{a} ναυαγούντων: ante ἐν ταῖς coll ΩU συνναυαγούντων Λ 5 post μεγάλῳ add Γρηγορίῳ Ω 6 ἐκείνῳ E αὐτοὶ: ἄνδρες v post αὐτοὶ add τε OΩ 7 post μεγάλου add Γρηγορίου Ω 8 ἐξ ἀνελπιστῶν κακῶν coll SΛ 9 ἅπαντα OEv γὰρ: δὲ X^{a} τὸν θεὸν ἐν αὐτῷ coll X^{a} post θεὸν add ἔλεγε Ev ἐπινοίαις: διανοίαις O ἐπινοίαις καὶ διανοίαις v ταῖς ἐπινοίαις τῶν ἀνθρώπων Λ ταῖς ἐπινοίαις ταῖς ἀνθρωπίναις X^{a} 10 ἐστιν om S 14 ἐναχθείη corr e κιναχθ- Λ ἐπαχθείη E 15 μεταθεῖναι post εἶχον coll OEX^{a}v μεταθῆναι Ω 19 διάγειν Ω δυναμένων: βουλομένων Ω σκηριπτόμενος V^{c}O ἐπερειδόμενος EX^{a} 23 τε om EX^{a} προηγησαμένων E προσκαλεσαμένων U 24 τὴν συμφορὰν om V^{c} 25 διεμήνυεν v χαραδρωθέντος OEv 26 post συνειλεγμένους add ὁ μέγας Γρηγόριος Ω

ἔστιν ἀνθρώπων, ἀδελφοί, τὸ διαλαμβάνειν ὅροις τὴν τοῦ ὕδατος κίνησιν. μόνης τῆς θείας δυνάμεως ἔργον τὸ τοιοῦτόν ἐστιν ἐντὸς ὅρων κατακλείειν τὴν τῶν ὑδάτων φοράν. οὕτως γάρ φησι πρὸς τὸν θεὸν ὁ προφήτης ὅτι Ὅριον ἔθου, ὃ οὐ παρελεύσεται. μόνῳ τῷ δεσπότῃ τῆς κτίσεως ἡ τῶν στοιχείων φύσις ἐστὶν ὑποχείριος, ἐν οἷς ἂν ταχθῇ τόποις, τούτοις εἰς τὸ διηνεκὲς παραμένουσα. ἐπειδὴ τοίνυν ὁ θεός ἐστιν ὁ νομοθετῶν τοὺς ὅρους τοῖς ὕδασι, μόνος ἂν ἐκεῖνος τῇ ἰδίᾳ δυνάμει καὶ τοῦ ποταμοῦ τούτου τὴν ἀταξίαν πεδήσειεν.'' εἶπε καὶ οἷον ἔνθους ἐξ ἐπιπνοίας θειοτέρας γενόμενος καὶ μεγάλῃ τῇ φωνῇ τὸν Χριστὸν αὐτῷ σύμμαχον πρὸς τὸ προκείμενον ἐλθεῖν ἐπευξάμενος καταπήγνυσι τὴν βακτηρίαν, ἣν διὰ χειρὸς ἔφερεν, κατὰ τὸν διεφθορότα τόπον τῆς ὄχθης. διάβροχος δὲ οὖσα κατ' ἐκεῖνο ἡ γῆ καὶ σομφώδης ῥᾳδίως ὑπενόστησε κατὰ τὸ βάθος τῷ τε βάρει τῆς βακτηρίας ἅμα καὶ τῇ χειρὶ τοῦ πηγνύντος ὑπείξασα. εἶτα τοῦτο καθάπερ τι κλεῖθρον γενέσθαι καὶ κώλυμα τῆς τῶν ὑδάτων ἀταξίας τῷ θεῷ ἐπευξάμενος πάλιν ὑπέστρεφεν ἔργῳ δείξας, ὅτι πᾶν τὸ παρ' ἐκείνου γινόμενον ὑπὸ θείας ἐνηργεῖτο δυνάμεως. εὐθὺς γὰρ οὐ μετὰ πολὺν χρόνον ἡ μὲν βακτηρία ταῖς ὄχθαις ἐρριζωθεῖσα δένδρον ἐγένετο, τῷ δὲ ῥείθρῳ τὸ φυτὸν ὅρος ἐπαγη, καὶ μέχρι τοῦ νῦν τοῖς ἐπιχωρίοις θέαμα γίνεται τὸ φυτὸν καὶ διήγημα. ὅταν γὰρ ἐξ ἐπομβρίας τε καὶ χειμάρρων ὁ Λύκος ἐκεῖνος πλημμυρῶν κατὰ τὸ σύνηθες καὶ τραχυνόμενος φέρηται φοβερῶς ἐπικαχλάζων τῷ ῥεύματι, τότε περὶ τὸν πυθμένα τοῦ δένδρου, κατὰ τὸ ἄκρον ἐπιφαύσας τῷ ὕδατι, πάλιν ὀγκωθεὶς κατὰ τὸ μέσον συστέλλει τὸ ῥεῖθρον καὶ οἷον φοβούμενος ἐμπελάσαι τῷ δένδρῳ κυρτῷ τῷ κύματι παραμείβει τὸν χῶρον.

Τοιαύτη τοῦ μεγάλου Γρηγορίου ἡ δύναμις, μᾶλλον δὲ τοῦ θεοῦ τοῦ ἐνεργοῦντος ἐν ἐκείνῳ τὰ θαύματα. καθάπερ γὰρ ὑποχειρία τις οὖσα

---

4 Ps 103,9 6sq cf Gen 1,6; Prov 8,29 (App); Iob 38,10sq; Ier 5,22

V^{c}SΛOEΩUX^{a} 1 ἀδελφοὶ ante ἀνθρώπων coll Ω διαλαβεῖν U 2 ante ἐντὸς add τὸ U 3 οὕτω ΩU 4 ὅτι om U post μόνῳ add δὲ Ω 5 post κτίσεως add Χριστῷ Ov ἐν om E ταχθείη SU 6 τούτοις om Ov ἐπεὶ SΛO τοίνυν: post θεὸς coll V^{c} οὖν SO δὲ Ω 7 ὁ om X^{a} νομοθετήσας U ἂν om X^{a} ἐκεῖ V^{c} ἰδίᾳ: θείᾳ V^{c} 8 εἶπε: om E ταῦτα εἰπὼν Ω 9 ἐπινοίας V^{c}Ev 10 αὐτῷ post σύμμαχον coll ΩU 11 διαφθαρέντα V^{c} 12 διάβροχος — σομφώδης om X^{a} ἐκεῖνον Ω 13 τὸ om V^{c}ΛOΩ βάθους Λ καὶ om V^{c} 15 εὐξάμενος EΩX^{a} ὑπέστρεφεν U 16 ἐκείνου: αὐτοῦ U 18 ἐνριζωθεῖσα V^{c} (-ριζ-) ΛE ὅρος: πρὸς Ω 20 χειμῶνος S 21 καὶ om Λ φοβερὸς OΩX^{a} (sed corr) v 22 τότε om V^{c} ἐπιφαύσας v 27 τὰ θαύματα ἐν ἐκείνῳ coll E καὶ καθάπερ (γὰρ om) EU post γὰρ add ὡς Λ

τῶν στοιχείων ἡ φύσις ἐδείκνυτο πρὸς τὸ δοκοῦν ἀλλασσομένη τοῖς ἐπιτάγμασιν, ὥστε λίμνην μὲν εἰς πυροφόρον χώραν μετατεθῆναι, τὰς δὲ χαράδρας οἰκισθῆναι τῆς βακτηρίας ἐγγυωμένης τὸ ἀσφαλὲς τοῖς οἰκήτορσιν. ὄνομα δὲ μέχρι τοῦ νῦν ἐστι τῷ δένδρῳ Ἡ Βακτηρία, μνημόσυνον τῆς ⟨τοῦ⟩ Γρηγορίου χάριτος καὶ δυνάμεως τοῖς ἐγχωρίοις ἐν παντὶ τῷ χρόνῳ σῳζόμενον. τί βούλει τούτοις τῶν προφητικῶν θαυμάτων ἀντιπαρατεθῆναι διὰ συγκρίσεως; εἶπω τὴν τοῦ Ἰορδάνου τομήν, ἣν τῇ πληγῇ τῆς μηλωτῆς ὁ Ἠλίας πρὸ τῆς ἀνόδου πεποίηται καὶ μετ' αὐτὸν Ἐλισσαῖος ὁ κληρονόμος καὶ τῆς μηλωτῆς καὶ τοῦ πνεύματος; ἀλλ' ἐπὶ τούτων μόνοις τοῖς προφήταις ἐπὶ τοῦ καιροῦ τῆς χρείας σχισθέντος τοῦ ῥεύματος διαβατὸς ὁ Ἰορδάνης ἐγένετο, τοσοῦτον διασχὼν ἐν ἑαυτῷ τὸ ῥεῖθρον ὅσον τοῖς ποσὶ παρασχεῖν τῶν προφητῶν διὰ ξηροῦ τοῦ πυθμένος ἐνδιοδεῦσαι, τῷ δὲ ἐφεξῆς χρόνῳ καὶ τοῖς λοιποῖς τῶν ἀνθρώπων τοιοῦτος ἦν οἷος καὶ πρόσθεν. ὁ δὲ Λύκος ἐκεῖνος ἅπαξ ἀπωσθεὶς τῆς ἀτάκτου φορᾶς εἰς ἀεὶ τὸ θαῦμα τοῦ Γρηγορίου ποιεῖ παντὶ τῷ ἐφεξῆς χρόνῳ τοιοῦτος μένων οἷον αὐτὸν ἡ τοῦ μεγάλου πίστις ἐν τῷ καιρῷ τῆς θαυματουργίας ἐποίησεν. ὁ σκοπὸς δὲ τῶν γινομένων οὐχ ἡ τῶν ὁρώντων ἔκπληξις ἦν, ἀλλ' ἡ τῶν προσοικούντων τῷ ποταμῷ σωτηρία, ὥστε τοῦ θαύματος τὸ ἴσον ἔχοντος — ὑποχωρεῖ γὰρ καὶ τοῖς προφήταις καὶ τῷ μιμητῇ τῶν προφητῶν κατὰ τὸ ἴσον ἡ τοῦ ὕδατος φύσις — εἰ χρὴ μετὰ παρρησίας εἰπεῖν, πλεονεκτεῖ τῷ φιλανθρώπῳ τὸ παρὰ τούτου γενόμενον, δι' οὗ τῶν προσοικούντων ἡ

933 M.

7sq cf IV Regn 2,8 8sq cf IV Regn 2,14

V^{c}SΛOEΩUX^{a} 2 ante λίμνην add τὴν U πυροφόρων O μετατεθῆναι: γενέσθαι Ω 3 post χαράδρας add τοῦ ὕδατος EX^{a}v ᾠκειωμένης Ov 4 τοῦ: καὶ EX^{a} Ἡ om Ω 5 τοῦ addidi 6 τί om Ω τούτοις: τοῖς ΩX^{a} om U προφητῶν X^{a} θαύμασιν X^{a} 8 ὁ om O πεποίητο X^{a} 9 αὐτὸν: ἐκεῖνον X^{a} καὶ ante τῆς om Ev 10 τούτοις ΩU μόνον ΩU ἐν τῷ καιρῷ O 11 post σχισθέντος add τοῦ ὕδατος διὰ V^{c}SΛOv 12 ἐν om Ω παρασχεῖν post προφητῶν coll O 13 post πυθμένος add τότε ΩU τοῖς ... χρόνοις EX^{a} 14 οἷος — πρόσθεν om V^{c} ἔμπροσθεν ΛΩ post πρόσθεν add ἦν OEv ὁ δὲ om v 15 δεθεὶς V^{c} post φορᾶς add νέον ΛEΩUX^{a} post εἰς add τὸ Ov 17 ὁ S (ex ὦ nomini σκοπὸς suprascripto correctum ut vid, sed vix legi potest) OEX^{a}v: ᾧ V^{c}ΛΩU δὲ: om V^{c}ΛEΩU γὰρ X^{a} (sed post ὁ coll) 18 οὐχὶ OEv ἡ pr om E ὁρώντων — τῶν om V^{c} 20 καὶ ante τοῖς om U κατὰ τὸ ἴσον post φύσις (21) coll ΩU 21 post εἰ add δὲ SΩU ante μετὰ add δὲ E 22 παρ' αὐτοῦ EX^{u} γινομένου V^{c} γενομένων Ω γινόμενον U

σωτηρία κατησφαλίσθη πεδηθέντος ἅπαξ κατ' ἐκεῖνο τοῦ ῥεύματος καὶ ἀκινήτου πρὸς τὸ ἐφεξῆς διαμείναντος.

Ἐπεὶ δὲ τῆς χώρας πανταχοῦ τῶν τοιούτων θαυμάτων διαφοιτώντων τῇ δυνάμει τῆς εἰς Χριστὸν πίστεως ἐνεργεῖσθαι πεπιστευμένων πάντες μετέχειν ἐπεθύμουν ἐκείνης τῆς πίστεως τῆς ὑπὸ τῶν τοιούτων μαρτυρουμένης θαυμάτων καὶ πανταχοῦ προῄει τὸ κήρυγμα καὶ ἐνεργὸν ἦν τὸ μυστήριον καὶ ἡ σπουδὴ πρὸς τὸ ἀγαθὸν ἐπετείνετο τῆς ἱερωσύνης παρὰ πᾶσι καθισταμένης, ὡς ἂν διὰ πάντων ἡ πίστις πλεονάζοι καὶ αὔξοιτο, γίνεται πρεσβεία πρὸς αὐτὸν ἐκ πόλεώς τινος ἀστυγείτονος ἐλθεῖν πρὸς αὐτοὺς καὶ τὴν παρ' αὐτοῖς ἐκκλησίαν διὰ τῆς ἱερωσύνης συστήσασθαι. Κόμανα δὲ τῇ πόλει τὸ ὄνομα, ᾗ ἐπιξενωθῆναι τὸν μέγαν ἠξίουν πανδημεί. γενόμενος τοίνυν παρ' αὐτοῖς καὶ συνδιαγαγὼν ἡμέρας τινὰς καὶ μᾶλλον αὐτοῖς τὴν περὶ τὸ μυστήριον ἐπιθυμίαν ἐξάψας, οἷς ἐποίει τε καὶ ἐφθέγγετο, ἐπειδὴ καιρὸς ἦν καὶ τὴν πρεσβείαν αὐτῶν εἰς πέρας ἐλθεῖν καὶ ἀναδειχθῆναί τινα τῆς παρ' αὐτοῖς ἐκκλησίας ἀρχιερέα, τότε τῶν μὲν ἐν τέλει πάντων αἱ γνῶμαι τοὺς προέχειν δοκοῦντας λόγῳ τε καὶ γένει καὶ τῇ λοιπῇ περιφανείᾳ περιειργάζοντο. ᾤοντο γάρ, ἐπειδὴ καὶ ταῦτα περὶ τὸν μέγαν Γρηγόριον ἦν, μηδὲ τούτων δεῖν ἄμοιρον εἶναι τὸν ἐπὶ τὴν χάριν ταύτην ἐρχόμενον. πολλαχῇ δὲ ταῖς ψήφοις μεριζομένων καὶ ἄλλων ἄλλον προαιρουμένων ἀνέμενεν ὁ μέγας θεόθεν αὐτῷ γενέσθαι τινὰ πρὸς τὸ προκείμενον συμβουλήν, καὶ καθὼς ὁ Σαμουὴλ μνημονεύεται μὴ ἐκπλαγῆναι κάλλος σωμάτων

3sqq cf Syr c 10 20sq cf Act 1,24 22-37,2 cf I Regn 16,7

V^{c}SΛOEΩUX^{a} 1 ante πεδηθέντος add τοῦ ὕδατος V^{c}SOv post ἐκεῖνο add τῷ καιρῷ Ω ἅπαξ καθ' ὑπ' ἐκείνου V^{c} κάθαπαξ ὑπ' ἐκείνου S ἅπαξ ὑπ' ἐκείνου Λ 2 ἑξῆς Λ διαμένοντος SΛOv 3 ἐπειδὴ Ev ἐπειδὴ δὲ U πανταχοῦ τῆς χώρας coll EUX^{a}v ἁπανταχοῦ SO τοιούτων τῶν O διαπεφοιτηκότων Ω U 4 ante Χριστὸν add τὸν V^{c} πιστευομένων X^{a} 5 ante πάντες add καὶ v τῆς alt om E τῶν om OΩ 6 θαυμάτων μαρτυρουμένης ΩU καὶ (ante πανταχοῦ): ὡς δὲ U om X^{a} ἐνεργὸς X^{a} 7 ἡ σπουδὴ post ἀγαθὸν coll U 8-9 αὔξοι (sic) καὶ πλεονάζοιτο Ω 9 post γίνεται add οὖν OX^{a}v πρεσβεία post αὐτὸν coll Λ γείτονος ΩU 11 Κώμανα Ov τοὔνομα OΩUv post μέγαν add ἐκεῖνον S Γρηγόριον Ω 12 post πανδημεὶ add πάντες τὴν χάριν αἰτούμενοι, quod glossam sapit SOv τὴν χάριν πάντες αἰτούμενοι X^{a} τὴν χάριν αἰτούμενοι ΛEUΩ πρὸς αὐτοὺς EX^{a} συνδιάγων ΩUX^{a} 13 ἀναφλέξας EX^{a} 15 αὐτῶν Ω τὴν ... ἐκκλησίαν X^{a} (corr m rec) 16 τῶν: τὸν V^{c} τὸ Λ τέλει: πόλει X^{a} αἱ γνῶμαι: ἐγνωσμένων E γνῶμαι: corr e γνώμου ut vid m rec O τοὺς: τοῦ V^{c} 19 δεῖν om E 21 post μέγας add Γρηγόριος Ω τινὰ post προκείμενον coll X^{a} 22 ὁ om O καταπλαγῆναι EΩUX^{a}v σώματος X^{a}

καὶ μέγεθος ἐν τῇ τῆς βασιλείας κρίσει ἀλλὰ ψυχὴν ἐπιζητεῖν βασιλικὴν κἂν ἐν καταφρονουμένῳ σώματι τύχῃ, τὸν αὐτὸν τρόπον κἀκεῖνος τὰς περὶ ἑκάστου τῶν ψηφιζομένων σπουδὰς παραβλέπων πρὸς ἓν ἀφεώρα μόνον, εἴ τις καὶ πρὸ τῆς ἀνακηρύξεως δι' ἐπιμελείας βίου καὶ ἀρετῆς ἐν τῷ τρόπῳ τὴν ἱερωσύνην φέροι. ὡς δὲ οἱ μὲν παρῆγον τοὺς ὑποψηφίους μετ' ἐγκωμίων ἕκαστος τὸν παρ' ἑαυτοῦ προβαλλόμενοι, ὁ δὲ καὶ πρὸς τοὺς εὐτελεστέρους κατὰ τὸ τοῦ βίου σχῆμα βλέπειν ἐνεκελεύετο — δυνατὸν γὰρ εἶναι καὶ ἐν τοῖς τοιούτοις εὑρεθῆναί τινα τῶν περιφανεστέρων τῷ βίῳ κατὰ τὸν πλοῦτον τῆς ψυχῆς ὑψηλότερον —, ὕβριν ᾠήθη τις τῶν προεστηκότων τῆς ψήφου καὶ χλευασμὸν τὴν τοιαύτην τοῦ μεγάλου κρίσιν, εἰ τῶν λόγῳ καὶ ἀξιώματι καὶ τῇ φαινομένῃ τοῦ βίου μαρτυρίᾳ προκεκριμένων τῶν ἄλλων μηδενὸς ἐπὶ τὴν ἱερωσύνην παραδεχθέντος ἐκ τῶν βαναύσων πρὸς τὴν τοιαύτην χάριν νομίζοιντό τινες ἀξιώτεροι, καὶ ἅμα κατειρωνευόμενος προσελθὼν πρὸς αὐτὸν ,,Εἰ ταῦτα κελεύεις'', φησί, ,,τούτους μὲν τοιούτους ὄντας περιοφθῆναι τοὺς πάσης ἐξειλεγμένους τῆς πόλεως, ἐκ δὲ τῶν συρφετῶν εἰς προστασίαν τῆς ἱερωσύνης ἀναληφθῆναί τινα, ὥρα σοι λοιπὸν τὸν ἀνθρακέα καλεῖν ἐπὶ τὴν ἱερωσύνην Ἀλέξανδρον καὶ μεταβάντες ἐπὶ τοῦτον, εἰ δοκεῖ, συμφωνήσωμεν πρὸς ἀλλήλους ταῖς ψήφοις ἡ πόλις πᾶσα.'' ὁ μὲν οὖν ταῦτα ἐφθέγγετο τὴν γνώμην διαβάλλων αὐτοῦ διὰ τῆς εἰρωνικῆς ταύτης ψήφου τὴν ἐπὶ τοῖς προλαβοῦσι ἀκρισίαν καταμεμφόμενος, τῷ δὲ μεγάλῳ γίνεται διὰ τῶν εἰρημένων ἐνθύμιον μὴ ἀθεεὶ τὸν Ἀλέξανδρον ἐν μνήμῃ τῶν ψηφιζομένων γενέσθαι. ,,Καὶ τίς'', φησίν,

936 M.

V^{c}SΛOEΩUX^a 1 ἐν: ἐπὶ V^{c}SΛΩ κρίσει: χρήσει V^c χρίσει SΛ ζητεῖ V^c ζητεῖν Λ 2 τύχοι U 3 ἐφηφισμένων OEΩv 5 τῷ om V^c φέρει Ω ὑπεφηφισμένους v ὑποφήφους V^c 6 τὸν: τῶν V^c (sed expunx) παρ' om OX^a αὐτοῦ Ev ἑαυτῷ U προβαλλόμενος V^{c}OEΩX^{a}v 7 τὸ om U ἐκελεύετο OEv 8 post εἶναι add ἔλεγεν X^a 9 τὴν τῆς ψυχῆς ἀρετὴν καὶ πλοῦτον ὑψηλότερον ΩU 10 καὶ χλευασμὸν om E 11 post μεγάλου add Γρηγορίου Ω τῶν: τῷ Ev καὶ pr om X^a post καὶ pr add τῶν Ev 12 κεκριμένων Ov 13 τὴν om v τοιαύτην: αὐτὴν O νομίσοιντο V^c 14 κατειρωνευόμενος: χλευασμῷ τινι S post κατειρωνευόμενος add καὶ χλευασμῷ τινι X^a προσελθὼν om V^{c}EΩX^a πρὸς αὐτὸν om SΛ 16 ante πάσης add παρὰ Ω 17 ἀναδειχθῆναι ΩU post τινα add καὶ τοιαύτης πόλεως ἄρχειν X^a λοιπὸν: om ΩX^a φησὶν U 18 ἐπὶ τοῦτον om V^c τούτων (e -τον corr) X^a 19 ἅπασα EΩ 20 ταῦτα μὲν οὖν (ὁ om) V^{c}S ταῦτα ὁ μὲν (οὖν om) Λ αὐτοῦ διαβάλλων coll EΩUX^a post αὐτοῦ add καὶ v 21 ἀκρίβειαν Ov κρίσιν U 22 post μεγάλῳ add Γρηγορίῳ Ω ἐνθύμιον: post γίνεται coll X^a (sed ἐν- om) εὐθυμιῶν V^c 23 ψηφισθέντων EΩU post ψηφιζομένων add καὶ εἰρημένων Ov

,,οὗτος ὁ Ἀλέξανδρος, οὗ τὴν μνήμην πεποίησθε;'' εἶτά τινος τῶν συμπαρόντων ἐν γέλωτι παραγαγόντος εἰς μέσον τὸν μνημονευθέντα ῥακίοις πιναροῖς ἠμφιεσμένον οὐδὲ ὅλῳ τῷ σώματι καὶ ἅμα δεικνύντα τῷ φαινομένῳ τὴν ἐργασίαν χερσί τε καὶ προσώπῳ καὶ τῷ λοιπῷ σώματι κατησβολωμένον τοῖς ἄνθραξι, τοῖς μὲν λοιποῖς γέλωτος ἦν ὑπόθεσις ἐν μέσοις τοιοῦτος ἑστὼς ὁ Ἀλέξανδρος, τῷ δὲ διορατικῷ ἐκείνου ὀφθαλμῷ πολλὴν παρεῖχεν ἔκπληξιν τὸ ὁρώμενον· ἀνὴρ ἐν ἐσχάτῃ πενίᾳ καὶ ἀτημελημένῳ τῷ σώματι πρὸς ἑαυτὸν βλέπων καὶ οἷον ἐπαγαλλόμενος τούτῳ τῷ σχήματι, ὃ τοῖς ἀπαιδεύτοις ὀφθαλμοῖς ἦν ἐπιγέλαστον. †καὶ γὰρ οὕτως εἶχεν· οὐκ ἀνάγκῃ πενίας ἐπὶ τὸν τοιοῦτον ἐληλύθει βίον, ἀλλὰ φιλόσοφός τις ἦν ὁ ἀνὴρ [ὡς ὁ μετὰ ταῦτα βίος ἐγνώρισε. τὸ δὲ λανθάνειν ἐπετήδευε] κρειττων ὑπάρχων τῆς ἐσπουδασμένης παρὰ τῶν πολλῶν εὐκληρίας καὶ ἀντ' οὐδενὸς τὸν βίον ποιούμενος, τῆς ὑφηλοτέρας τε καὶ ἀληθοῦς ζωῆς τὴν ἐπιθυμίαν ἔχων. καὶ ὡς ἂν μάλιστα τὸν πρὸς ἀρετὴν σκοπὸν κατορθώσειε, λανθάνειν ἐμηχανᾶτο τοιοῦτος ὢν τῷ ἀτιμοτέρῳ τῶν ἐπιτηδευμάτων οἷον εἰδεχθεῖ τινι προσωπείῳ ὑποκρυπτόμενος. ἄλλως δέ· ὑπερανθῶν τῇ νεότητι σφαλερὸν ἡγεῖτο τῷ τῆς σωφροσύνης σκοπῷ φανερὸν ποιεῖν τὸ κάλλος τοῦ σώματος ὥσπερ ἐμπομπεύων τῇ εὐκληρίᾳ τῆς φύσεως. ᾔδει γὰρ χαλεπῶν καταπτωμάτων ἀφορμὴν τοῖς

V^{c}SΛOEΩUX^{a} 1 οὗτος: om O ante φησὶν (p 37,23) coll EUX^{a}v τινος: τινες E 2 παραγαγόντων E μέσους EX^{a} ἐν τῷ μέσῳ U 4-5 χερσὶ — σώματι: γένειόν τε καὶ τὸ πρόσωπον καὶ τὸ λοιπὸν σῶμα U χειρὶ X^{a} 5 σώματι: τοῦ σώματος V^{c}S κατερρυπωμένον Ov κατερρυπομένῳ EX^{a} τῇ ἐργασίᾳ τῶν ἀνθράκων EΩUv 6 τοιούτοις SU οὕτως Ω 7 ἐκείνου scripsi: ἐκείνῳ codd v ante ἔκπληξιν add τὴν Λ ante ὁρώμενον add γινόμενόν τε καὶ Ev 8 ἐσχάτῃ: τοσαύτῃ V^{c} om E κατημελημένῳ Ω ἀπημελημένῳ V^{c}OUX^{a}v τῷ om Ω post ἑαυτὸν add μόνον X^{a} 9 τούτῳ τῷ σχήματι: τούτοις V^{c}SΛEΩU τούτῳ X^{a} ὁ: οἷς S (τοῖς om) ἃ ΩU 10 ἐπιγέλαστα ΩU καὶ — ᾠκονομεῖτο (39,7) memoria dubia videtur ἔχει v ante οὐκ add καὶ v 11 ἐληλύθε V^{c}Ω ἐληλυθέναι X^{a} ἐληλυθὼς U ante φιλόσοφος add καὶ Ov τις om V^{c}SΛ ὡς — ἐπετήδευε (12) seclusi cf praef p CXXVIsq 12 post ἐγνώρισε add καὶ τῶν λοιπῶν ὑφηλότερος ὡς καὶ μέχρι τοῦ (τοῦ om Ev) μαρτυρίου φθάσαι διὰ πυρὸς τελειώσας τὸν δρόμον EΩ (πολλῶν pro λοιπῶν habet) v ὡς — δρόμον ΛX^{a}O^{2} (in mg) τὸ: τότε SΩU ante ἐπετήδευε add ἐπεχείρησεν ἢ μᾶλλον Ev ἐπετήδευσε V^{c}ΛΩU ἐπετήδευσαι (sic) X^{a} 13 post εὐκληρίας add καὶ — δρόμον (cf ad 12) O (del O^{2}) U 14 τε om ΛΩ 15 κατορθώσει V^{c} 17 εἰδεχθεῖ om O τινι: τι O om v προσώπῳ U ὑποκρινόμενος X^{a} ἄλλως initium significat alterius textus formae ab ipso auctore repetendae. iterantur enim eadem, quae iam ll 10-17 dicta sunt, sed aliis verbis. cf praef p CXXVIsq δὲ: τε V^{c} post δὲ add καὶ V^{c}SΛOEΩX^{a} 19 post σώματος add αὐτοῦ Ov ἐκπομπεύων ΩU 20 φύσεως: σαρκὸς U ἀφορμὴν: post πολλοῖς (p 39,1) coll U ἀρετὴν Λ

πολλοῖς τὸ τοιοῦτον γινόμενον. ὡς ἂν οὖν μήτε πάθοι τι τῶν 937 M.
ἀβουλήτων μήτε πάθους ὑπόθεσις ἀλλοτρίοις ὀφθαλμοῖς
κατασταίη, διὰ τοῦτο καθάπερ τι προσωπεῖον εἰδεχθὲς τὴν
ἀνθρακοποιΐαν ἑκουσίως ἑαυτῷ περιτίθησι, δι' ἧς τό τε σῶμα τοῖς
πόνοις πρὸς ἀρετὴν ἐγυμνάζετο καὶ τὸ κάλλος τῷ ῥύπῳ τῶν
ἀνθράκων ἐπεκαλύπτετο καὶ ἅμα τὸ ἐκ τῶν πόνων αὐτῷ προσγι-
νόμενον εἰς ἐντολῶν ὑπηρεσίαν ᾠκονομεῖτο.†

Ἐπειδὴ τοίνυν μεταστήσας αὐτὸν τοῦ συνεδρίου πάντα τὰ κατ'
αὐτὸν δι' ἀκριβείας ἐπύθετο, τὸν μὲν δίδωσι τοῖς περὶ αὐτὸν ἐντειλάμε-
νος ἃ πράττειν ἐχρῆν, αὐτὸς δὲ πάλιν καταλαβὼν τὸ συνέδριον ἐκ τῶν
ἐν χερσὶ τοὺς συνειλεγμένους ἐπαίδευε τοὺς περὶ τῆς ἱερωσύνης λόγους
αὐτοῖς παρατιθέμενος καὶ διὰ τούτων τὸν κατ' ἀρετὴν ὑπογράφων βίον
καὶ διήγαγεν ἐν τοῖς τοιούτοις λόγοις παρακατέχων τὸν σύλλογον, ἕως
ἐκπληρώσαντες οἱ ὑπηρετοῦντες αὐτῷ τὸ προστεταγμένον ἐπέστησαν
ἔχοντες μεθ' ἑαυτῶν τὸν Ἀλέξανδρον λουτρῷ τε τὴν ἐκ τῶν ἀσβόλων
ἀηδίαν ἀποκλυσάμενον καὶ τοῖς τοῦ μεγάλου ἱματίοις ἐστολισμένον.
ταῦτα γὰρ ἦν αὐτοῖς ἐντεταλμένος ποιῆσαι. πάντων δὲ πρὸς τὸν
Ἀλέξανδρον ἐπιστραφέντων καὶ θαυμαστικῶς πρὸς τὸ φαινόμενον δια-
κειμένων ,,Οὐδὲν καινὸν πεπόνθατε'', φησὶ πρὸς αὐτοὺς ὁ διδάσκαλος,
,,ὀφθαλμοῖς ἀπατηθέντες καὶ τῇ αἰσθήσει μόνῃ τὴν κρίσιν τοῦ καλοῦ
ἐπιτρέψαντες. σφαλερὸν γὰρ κριτήριον τῆς τῶν ὄντων ἀληθείας ἡ
αἴσθησις τὴν πρὸς τὸ βάθος τῆς διανοίας εἴσοδον δι' ἑαυτῆς ἀπο-
κλείουσα. ἅμα δὲ καὶ τῷ τῆς εὐσεβείας ἐχθρῷ δαίμονι τοῦτο φίλον ἦν
πάντως ἀργῆσαι τὸ τῆς Ἐκλογῆς σκεῦος τῇ ἀγνοίᾳ συγκαλυπτόμενον

---

24 σκεῦος ἐκλογῆς Act 9,15

V^{c}SΛOEΩUX^{a} 1 τὸ τοιοῦτον: τοῦτο Ω πάθη E 3 διὰ τοῦτο om V^{c}SΛ διὰ — εἰδεχθὲς om EUX^{a} 4 ἑαυτῷ ἑκουσίως coll X^{a} τε om Ov 5 τόνοις UX^{a} (corr e πον-) 7 ᾠκονομήτο V^{c} ᾠκονόμητο OEUv 8 ἐπεὶ δὲ Ω ante πάντα add καὶ v post πάντα add γὰρ E 9 δι': μετὰ OEΩv ἐπυνθάνετο X^{a} 10 ἃ post πράττειν coll U χρὴ πράττειν V^{c} post ἐχρῆν add αὐτοὺς UX^{a} (αὐτοῦς) αὐτὸς om E πάλιν om X^{a} ἐκ τῶν: ἔχων EX^{a} 11 τῆς om E 11-12 αὐτοῖς λόγους EX^{a}v 12 ἐπι-γράφων S 13 καὶ om X^{a} (sed add δὲ post διήγαγεν) διῆγεν OΩv ἐν — σύλλογον om X^{a} λόγοις om Λ post ἕως add ἂν Ω 14 τὸ προστα-χθὲν V^{c} τὰ προστεταγμένα EX^{a} 15 ἀσβολῶν Λ 16 ἀπεκλουσάμενον Ω κατεστολισμένον Ω ἠμφιεσμένον X^{a} 17 αὐτοῖς post ἐντ. coll V^{c} ἐντηλάμενος V^{c} ἐντειλάμενος Ov ἐντεταλμένα ΛΩU δὲ: τε E 19 κενὸν OU φησὶ πεπόνθατε O 20 ἀπατηθὲν V^{c} μόνον U κάλλους Ov 22 διανοίας: ἀληθείας V^{c} δι' ἑαυτῆς: πρὸς ἑαυτὴν U 23 ante τῷ add αὐτῷ Ev εὐσεβείας: ἀληθείας E 24 ἀργῆσαι πάντως E

μηδὲ παρελθεῖν εἰς μέσον ἄνδρα τῆς ἐκείνου δυναστείας καθαιρέτην ἐσόμενον.'' ταῦτα εἰπὼν προσάγει τῷ θεῷ διὰ τῆς ἱερωσύνης τὸν ἄνδρα κατὰ τὸν νενομισμένον τρόπον τελειώσας τῇ χάριτι. πάντων δὲ πρὸς τὸν νέον ἱερέα ἀποβλεπόντων προτραπείς τινα πρὸς τὴν ἐκκλησίαν λόγον ποιήσασθαι ἔδειξεν εὐθὺς ἐν προοιμίοις τῆς ἀρχῆς ὁ 'Αλέξανδρος ἄψευστον ἐπ' αὐτῷ τοῦ Γρηγορίου τὴν κρίσιν. ἦν γὰρ αὐτῷ πλήρης διανοίας ὁ λόγος ἧττον τῷ ἄνθει κεκαλλωπισμένος τῆς λέξεως, ὅθεν τις τῶν νέων ἀγέρωχος ἐκ τῆς 'Ατθίδος αὐτοῖς ἐπιχωριάζων τὸ ἀκαλλὲς τῆς λέξεως ὑπεγέλασεν ὅτι μὴ τῇ περιεργίᾳ τῇ 'Αττικῇ κεκαλλώπιστο. ὃν φασιν ἐκ θειοτέρας ὄψεως σωφρονισθῆναι ἰδόντα περιστερῶν ἀγέλην ἀμηχάνῳ τινὶ διαλάμπουσαν κάλλει καί τινος ἀκηκοέναι λέγοντος 'Αλεξάνδρου τὰς περιστερὰς εἶναι ταύτας, ἃς ἐν γέλωτι ἐκεῖνος πεποίηται.

Τί τούτων ἄν τις πρὸ τοῦ ἑτέρου θαυμάσειε; τὸ μὴ δυσωπηθῆναι τὸν ἄνδρα τῶν ἀξιωμάτων τὴν ψῆφον καὶ μὴ συναρπασθῆναι πρὸς τὰς μαρτυρίας τῶν προεχόντων ἢ μᾶλλον τὸν ἐγκεκρυμμένον τοῖς ἄνθραξι πλοῦτον, ᾧ παραχρῆμα παρὰ τοῦ θεοῦ ἡ τῆς ὀρθῆς κρίσεως μαρτυρία διὰ τῆς τοῦ ῥήτορος ἐπηκολούθησεν ὄψεως; ἐμοὶ μὲν γὰρ ἐφ' ἑαυτοῦ τούτων ἑκάτερον τοιοῦτον εἶναι δοκεῖ ὡς πρὸς ἄλληλα μὲν ἔχειν τὴν ἄμιλλαν, πάντων δὲ μικροῦ δεῖν τῶν ἐπὶ θαύματι μνημονευομένων
940 M. πρωτεύειν. τό τε γὰρ ἀντιβῆναι τῇ τῶν προεχόντων ὁρμῇ τῆς ἀτρέπτου καὶ ὑψηλῆς διανοίας ἐναργέστατον ἐγένετο γνώρισμα, ᾧ πάντα τὰ κατὰ τὸν κόσμον φαινόμενα ἐν τῷ ὁμοίῳ καθεωρᾶτο εἴτε πρὸς τὸ μεῖζόν τε καὶ περιφανέστερον εἴτε καὶ πρὸς τὸ ταπεινόν τε καὶ ἀφανὲς οἰκείως εἶχε. μόνῃ δὲ νέμων τῇ ἀρετῇ τὴν προτίμησιν καὶ μόνην τὴν ἐν κακίᾳ ζωὴν κρίνων ἀπόβλητον ἀντ' οὐδενὸς ἑώρα τὰ πάντα, ὅσα κατὰ τὸν

V^{c}SΛOEΩUX^a 1 ante μηδὲ add καὶ Ω δυνάμεως Ω 3 τρόπον: τύπον S post τελειώσας add τοῦτον X^a δὲ: τε EΩU 4 βλεπόντων EUX^a 5 λόγον post τινα (4) coll V^{c}SΛ τῆς ἀρχῆς om O 6 post ἄψευστον add εἶναι Ω ἐπ' αὐτῶν U post τοῦ add μεγάλου v 7 ante ἧττον add οὐχ ΩU ante τῷ add ἢ U 9 ἐπεγέλασεν U post μὴ add τις V^c τῇ ante περιεργίᾳ om V^{c}X^a τῆς ἀττικῆς V^c 10 post ἐκ add τινος EX^a θειοτέρας om E ὀπτασίας E 11 καὶ — λέγοντος om X^a 12 post ταύτας add ἀκούσαντα X^a ἃς: ἣν S 15 καὶ om U συναρπαγῆναι ΩX^a πρὸς τὰς μαρτυρίας: ταῖς μαρτυρίαις Ω 16 προεχόντων: προσώπων X^a post μᾶλλον add τὸ θαυμάσαι Ev θαυμάσαι V^{c}SOΩX^a τὸ ὑπ' ὄψιν ἀγαγεῖν U 17 ἡ ante παρὰ coll V^{c}S μαρτυρία ante τῆς coll V^c 18 ῥητοῦ OU παρηκολούθησεν O ἐμοὶ — ἑκάτερον (19) om V^c ἐφ' ἑτούτων Λ ἑαυτῷ X^a 19 δοκεῖν V^c 20 ἐν θαύμασι X^a 21 προτερεύειν U 22 ἐγίνετο OEUX^{a}v ᾧ: ὡς Ω 23 καθωρᾶτο SUX^a τε om V^{c}U 24 καὶ ante πρὸς om ΛEΩU ταπεινότερον X^a τε om V^{c}U 25 ἔχειν EX^a ἔχει Ω

βίον τοῦτον ἢ σπουδῆς τινος ἢ ἀτιμίας ἄξια κρίνεται. ὃ δὴ καὶ τότε πεποιηκὼς ἐπιδείκνυται. ζητῶν γὰρ τὸν τῷ θεῷ κεχαρισμένον εὑρεῖν οὐκ ἀξιόπιστον εἰς μαρτυρίαν ᾠήθη πλοῦτον παραλαβεῖν καὶ ἀξίωμα καὶ τὰς κατὰ τὸν κόσμον τοῦτον περιφανείας, ὧν οὐδὲν ἐν τοῖς τῶν ἀγαθῶν καταλόγοις ὁ θεῖος λόγος ἀπηριθμήσατο. οὐ τοίνυν τοῦτο μόνον ἐστὶν ἐπαίνου τε καὶ θαύματος ἄξιον τὸ μὴ προέσθαι τὰς τῶν δυναστευόντων σπουδάς, ἀλλὰ καὶ διὰ τῶν ἐφεξῆς αὐτὸς ἑαυτὸν ὑπερβάλλεται. ὁ γὰρ μόνον τὴν ἀναξίαν ἀπωσάμενος ψῆφον μὴ προσθεὶς δὲ τῇ χρείᾳ τὸ λεῖπον τὸ μὲν κακὸν ἐκώλυσε, τὸ δὲ ἀγαθὸν οὐκ ἐποίησεν, ὁ δὲ πρὸς τῷ μὴ συνθέσθαι τῷ χείρονι καὶ τὸ καλὸν ἐξευρὼν δι' ἀμφοτέρων τὸ ἀγαθὸν ἐτελείωσεν οὔτε τῷ κακῷ συγχωρήσας τὴν πάροδον καὶ τὸ καλὸν προσαγαγὼν εἰς ἐνέργειαν, ὡς κατ' ἀμφότερα γενέσθαι τοῦ μεγάλου τὴν εὐεργεσίαν τῇ πόλει τό τε κατ' ἄγνοιαν παρ' αὐτῶν πλημμελούμενον ἀποστρέψαντος καὶ τὸ κεκρυμμένον παρ' αὐτοῖς ἀγαθὸν δι' ἑαυτοῦ φανερώσαντος.

Πάντων δὲ κατὰ γνώμην τῷ μεγάλῳ προκεχωρηκότων τῇ συμμαχίᾳ τοῦ πνεύματος οὐκ ἄκαιρον ἂν εἴη καὶ τὸ τῆς ὁδοῦ πάρεργον διηγήσασθαι, ὡς ἂν διὰ πάντων ἡ συμπαροῦσα τῷ ἀνδρὶ χάρις ἐπιδεικνύοιτο. ἐπειδὴ γὰρ ἅπασι πρόδηλον ἦν ὅτι τοῦτο πρὸ πάντων τῷ ἀνδρὶ διεσπούδαστο τὸ πάντα πρὸς τὴν τῶν δεομένων παραμυθίαν βλέπειν, εἴτε πρὸς κέρδος ὁρῶντες ἐκ τῶν Ἑβραίων δύο τινὲς εἴτε τινὰ καὶ μῶμον κατὰ τοῦ ἀνδρὸς ἐπινοοῦντες ὡς εὐκόλως πρὸς τὸ ἐξαπατᾶσθαι

4sq cf Matth 5,3sqq; Gal 5,22; Eph 5,9; Phil 4,8; II Petr 1,5sqq 16sqq cf Syr c 4 20 cf I Thess 5,14

V^{c}SΛOEΩUX^a 1 τοῦτον om V^{c}ΛO (suppl O^2 in mg) σπουδῆς: τιμῆς E 2 ἐπεδείκνυτο V^{c}SO δείκνυται X^a κεχαρισμένον: ἄξιον V^{c}SO κεχαρισμένον καὶ ἄξιον v 3 εἰς om X^a ᾠήθη — ἀξίωμα om X^a 4 κατὰ: περὶ V^{c}S τοῦτον om ΩU 5 ἀγαθῶν: ἀρετῶν U ἀπηριθμήσατο λόγος Ov τοίνυν post μόνον (6) coll Ov post τοῦτο cett 6 μόνον: om V^c post ἄξιον coll E post ἐστιν coll ΩUX^a ἐστὶν ἐπαίνου τε: ἐπαινούμενόν ἐστι V^{c}SΛOUX^a (ἐστι ἐπαιν-) προσίεσθαι Ω 7 καὶ om EX^{a}v ὑπερβάλλειν V^{c}Ov ὑπερβάλλει S 8 μόνην X^a οὐκ ἀξίαν X^a προστιθεὶς S 10 τῷ pr: τὸ V^{c}ΩX^a 11 ἐτελείωσε τὸ ἀγαθὸν Ov ἀγαθὸν: καλὸν Ω 12 προαγαγὼν EΩ 13 post μεγάλου add Γρηγορίου X^a τὴν εὐεργεσίαν τοῦ μεγάλου SOv (sed add Γρηγορίου) ante τῇ add ἐν SΛOv 14 ἐπιστρέψαντος Ov 16 κατὰ γνώμην post μεγάλῳ coll S τοῦ μεγάλου Ov post μεγάλῳ add Γρηγορίῳ Ω κεχωρηκότων X^a 17 post τοῦ add ἁγίου Ov τὸ om U 18 post πάντων add καὶ Ω 19 ἐπιδείκνυτο V^{c}Ω ἐπιδείκνυται E ἐπεδείκνυτο v πᾶσιν EX^a ἦν om X^a 19-20 τῷ ἀνδρὶ: αὐτῷ ΛEΩUX^a 20 ἐσπούδαστο Ov διέσπουστο X^a βλέπειν: ἐπαρκεῖν X^a 21 ὁρῶντες post Ἑβραίων coll E τινὰ post μῶμον (22) coll Ω καὶ om SOv 22 ἀπατᾶσθαι ΛU

διακειμένου παραφυλάσσουσιν αὐτοῦ τὴν ἐπάνοδον, καὶ τούτων ὁ μὲν τεθνάναι δόξας ἐν ὑπτίῳ τεταμένος τῷ σχήματι κατὰ τὸ πλάγιον τῆς λεωφόρου προέκειτο, ὁ δὲ ἕτερος ἐπικωκύων δῆθεν τῷ κειμένῳ τὰς τῶν θρηνούντων φωνὰς ὑπεκρίνετο καὶ παριόντα τὸν μέγαν ἐβοᾶτο λέγων ἀθρόως συσχεθέντα θανάτῳ τὸν δείλαιον τοῦτον γυμνὸν κεῖσθαι καὶ πρὸς ταφὴν ἀπαράσκευον. ἐδεῖτο τοίνυν τοῦ μεγάλου μὴ περιιδεῖν ἐπ' αὐτῷ τὴν ὁσίαν, ἀλλ' οἰκτόν τινα τῆς πενίας λαβόντα παρασχεῖν ἐκ τῶν ἐνόντων τὸν ἔσχατον κόσμον ἐπιβληθῆναι τῷ σώματι. ὁ μὲν ταῦτα καὶ τὰ τοιαῦτα λέγων ἱκέτευεν, ὁ δὲ μελλήσας οὐδὲν τὴν περικειμένην αὐτῷ διπλοΐδα ἐπιβαλὼν τῷ κειμένῳ τοῦ πρόσω τῆς ὁδοιπορίας εἶχετο. ἐπεὶ δὲ διαβάντος ἐκείνου ἐφ' ἑαυτῶν ἦσαν οἱ ταῦτα κατ' αὐτοῦ παίξαντες, μεταβαλὼν ὁ ἀπατεὼν ἐκεῖνος τὸν ἐσχηματισμένον θρῆνον εἰς γέλωτα διανίστασθαι τῷ κειμένῳ παρεκελεύετο ὑφ' ἡδονῆς τῷ ἐκ
941 M. τῆς ἀπάτης αὐτοῖς προσγενομένῳ κέρδει ἐπικαγχάζων, ὁ δὲ ἦν ἐν ὁμοίῳ τῷ σχήματι μηδενὸς ἐπαΐων τῶν λεγομένων. τοῦ δὲ γεγωνοτέρᾳ τῇ φωνῇ κεχρημένου καὶ ἅμα τῷ ποδὶ διεγείροντος οὐδὲν μᾶλλον ὁ κείμενος οὔτε τῆς φωνῆς ἐπήκουεν οὔτε τῆς πληγῆς ἐπῃσθάνετο, ἀλλ' ἦν ὁμοίῳ ἐκτεταμένος τῷ σχήματι. νεκρὸς γὰρ ἦν ὁμοῦ τῇ ἐπιβολῇ τοῦ ἱματίου κατὰ ἀλήθειαν ἐν τῷ θανάτῳ γενόμενος ὃν ἐπὶ τῇ ἀπάτῃ τοῦ μεγάλου καθυπεκρίνατο, ὥστε μὴ ψευσθῆναι τὸν τοῦ θεοῦ ἄνθρωπον, ἀλλ' οὗ χάριν ἐδόθη παρ' αὐτοῦ τὸ ἱμάτιον, ἐν τούτῳ τῷ λαβόντι γενέσθαι χρήσιμον.

Εἰ δὲ σκυθρωπὸν εἶναι δοκεῖ τὸ τοιοῦτον ἔργον τῆς τοῦ μεγάλου πίστεώς τε καὶ δυνάμεως, ξενιζέσθω μηδεὶς πρὸς τὸν μέγαν Πέτρον ὁρῶν. καὶ γὰρ ἐκεῖνος οὐ δι' ὧν εὐηργέτει μόνον τὴν προσοῦσαν ἐπεδείκνυτο δύναμιν, τὸν ἐκ γενετῆς χωλὸν τρέχοντα τῷ λαῷ δεικνύων καὶ

26-43,1 cf Act 3,2sqq

V^{c}SΛOEΩUX^a 1 παραφυλάττουσιν ΛU 4 θρηνωδούντων Λ ὑπεκρίνατο V^{c}Ov καθυπεκρίνετο E 5 ἀθρόῳ EX^a ante θανάτῳ add τῷ S 6 ἐδέετο ΛUΩ ante ἐδεῖτο add καὶ X^a τοίνυν: οὖν S om V^{c}X^a παριδεῖν EX^a 7 αὐτὸ V^c post ὁσίαν add ψυχὴν Ev 8 ante ὁ add καὶ S post μὲν add οὖν X^a 9 καὶ τὰ τοιαῦτα om X^a λέγων om ΛΩ καθικέτευεν X^a ante μελλήσας add μὴ V^{c}E μελήσας SΛE 10 ἐπιβάλλον V^c 11 εἶχετο: ἤρχετο Ω ἐπειδὴ δὲ V^{c}ΩU 12 ἐκεῖνος post μεταβαλλὸν (sic) coll V^c 14 αὐτῷ ΛΩ γενομένῳ Λ κέρδει e κέρδος ut vid corr O^2 ἐπικαχάζων V^c 15 ἐπαΐων: ὑπακούων V^c ἀκούων Ov ἐπακούων X^a γε τρανοτέρᾳ X^a μειζοτέρᾳ E 17 τῆς πληγῆς: τοῦ ποδὸς ΛU 18 τῷ σχήματι ἐκτεταμένος E 18-19 τῇ τοῦ ἱματίου ἐπιβολῇ S 20 post μεγάλου add Γρηγορίου Ω καθυπεκρίνετο OEv 21 τοῖς λαβοῦσι V^{c}SOv 22 χρήσιμον post τούτῳ (21) coll ΛEΩU 24 τε om ΩX^a τε καὶ δυνάμεως om E 25 ἀπεδείκνυτο Λ 26 γεννητῆς V^{c}ΛOEv δείξας X^a

ἀλλόμενον ἢ τῇ σκιᾷ τοῦ ἰδίου σώματος ἰατρεύων τῶν ἀρρωστούντων τὰ πάθη, οἷς ἂν ἐπήγαγε κατὰ τὴν πάροδον τοῦ ἀποστόλου διὰ πλαγίου τῷ σώματι προσβάλλων ὁ ἥλιος, ἀλλὰ καὶ τοῦ Ἀνανίου πρὸς τὴν ἐνοικοῦσαν τῷ ἀποστόλῳ δύναμιν καταφρονητικῶς διατεθέντος καταδικάζει τὸν θάνατον, ὡς ἂν οἶμαι τῷ κατ' ἐκεῖνον φόβῳ πᾶν τὸ καταφρονοῦν ἐν τῷ λαῷ σωφρονέστερον γένηται τῷ φοβερῷ ὑποδείγματι πρὸς τὸ μὴ τοῖς αὐτοῖς ἐγγενέσθαι παιδαγωγούμενον. εἰκότως τοίνυν ὁ μιμητὴς τοῦ Πέτρου διὰ πολλῶν τῶν κατὰ τὰς εὐεργεσίας θαυμάτων δείξας τὸ τῆς δυνάμεως μέγεθος καὶ τὸν κατὰ τοῦ πνεύματος χρήσασθαι τῇ ἀπάτῃ ἐπιχειρήσαντα ἀληθεῦσαι καθ' ἑαυτοῦ παρεσκεύασεν. ἔδει γὰρ οἶμαι τὸν καθαιρέτην τοῦ ψεύδους καὶ ἐν τῷ ἀπατεῶνι τὸ ψεῦδος ματαγαγεῖν εἰς ἀλήθειαν, ὡς ἂν ἅπασι διὰ τούτου γένοιτο δῆλον, ὅτι πᾶν τὸ παρὰ τοῦ μεγάλου λεγόμενον ἀλήθεια ἦν, καὶ ὅπερ ἂν ὡς ἀληθὲς παρεδέξατο, ψεῦδος οὐκ ἦν. οἱ μὲν οὖν Ἰουδαῖοι κατὰ τὸν ῥηθέντα τρόπον τῆς τοῦ μεγάλου δυνάμεως καταπαίξαντες παίδευμα τοῖς ἄλλοις ἐγένοντο μὴ κατατολμᾶν τῆς ἀπάτης, ἐφ' ὧν ὁ θεὸς γίνεται τῶν τολμηθέντων κατήγορος.

Μετὰ ταῦτα δὲ συλλόγου ποτὲ κατὰ τὸ ὕπαιθρον ἔν τινι τῶν κατὰ τὴν χώραν τόπων γεγενημένου καὶ πάντων θαυμαστικῶς διακειμένων πρὸς τὰ διδάγματα, μειράκιόν τι πρὸς τοὺς συνεστῶτας ἐβόα μὴ παρ' ἑαυτοῦ ταῦτα τὸν διδάσκαλον λέγειν ἀλλ' ἕτερον αὐτῷ παρεστῶτα διεξιέναι τοὺς λόγους. προσαχθέντος δὲ τοῦ παιδὸς μετὰ τὸ διαλυθῆναι τὸν σύλλογον εἰπεῖν λέγεται πρὸς τοὺς παρόντας τὸν μέγαν μὴ καθαρεύειν ἐκ δαίμονος τὸ μειράκιον, καὶ ἅμα περιελόμενον ἑαυτοῦ τὸ ἐπὶ

1sqq cf Act 5,15 3sqq cf Act 5,1sqq 9 cf Matth 12,31sq 18sqq cf Syr c 12

V^{c}SΛOEΩUX^{a} 1 διαλλόμενον SEX^{a}v ἢ: καὶ X^{a} ἰδίου om V^{c} 2 οἷς: εἰς V^{c} ἂν: ἃ V^{c} om S post ἂν add ταύτην U ἐπῆγε S πλαγίῳ Ω 3 τοῦ σώματος E προσβαλλὼν EU τὴν om Ω 4 τῷ ἀποστόλῳ om E καταδικάζειν E 5 τὸν: αὐτὸν U θανάτῳ U φόβῳ: ἐπιτιμίῳ ΛX^{a} (-τημ-) 6 γένοιτο EΩ φοβερωτέρῳ ΛUX^{a} 8 τοίνυν: οὖν ΛU τοῦ om ΩUX^{a} 9 post τῆς add θείας ΛU 10 περὶ αὐτοῦ V^{c}SOv 11 οἶμαι om S 12 μετάγειν Ω μεταλλάττειν Ov τοῦτο OX^{a}v γένηται V^{c}S 13 ante πᾶν add καὶ Ov post μεγάλου add Γρηγορίου Ω post λεγόμενον add τε καὶ πραττόμενον SX^{a} τε καὶ γενόμενον Ω ἀληθὲς V^{c}SOv 15 post μεγάλου add Γρηγορίου Ω post δυνάμεως add ὡς ἐνόμισαν V^{c}SOX^{a}v παίξαντες E 18 δὲ: ante ταῦτα coll X^{a} om ΛU ante ποτὲ add τινὸς ΛU ποτὲ: τινὸς SO 19 post γεγενημένου add ποτὲ SO 20 παρεστῶτας V^{c}S 21 ἑαυτοῦ: αὐτοῦ Ov 22 προαχθέντος V^{c} (inter -θεντ- et ς 1 litt eras) X^{a} 23 post μέγαν add Γρηγόριον Ω καθαριεύειν V^{c}Ω 24 ἐκ δαίμονος ante μὴ coll ΛU δαιμονίου Ω αὐτοῦ V^{c}X^{a}

τῶν ὤμων ὀθόνιον καὶ παραθέντα τῷ ἄσθματι τοῦ ἰδίου στόματος οὕτως ἐπιρρίψαι τῷ νέῳ. γενομένου δὲ τούτου ταράσσεσθαι καὶ ἀναβοᾶν τὸ μειράκιον καὶ καταπίπτειν καὶ διαρρίπτεσθαι καὶ πάντα πάσχειν τὰ ἐκ δαιμόνων πάθη· εἶτα ἐπιβαλόντος τοῦ ἁγίου τὴν χεῖρα καὶ τὴν ταραχὴν κατευνάσαντος ἀποπτῆναι μὲν αὐτοῦ τὸ δαιμόνιον, τὸν δὲ πάλιν ἐν καταστάσει γενόμενον μηκέτι λέγειν ὁρᾶν ἐπὶ τοῦ ἁγίου
944 M. τὸν συμφθεγγόμενον. καὶ γὰρ δὴ καὶ τοῦτο τῶν μεγάλων ἐκείνου θαυμάτων ἐστὶ τὸ μηδεμιᾷ τινι περιεργίᾳ τὰ κατὰ τὰς ἰάσεις ἐπιτελεῖν θαύματα, ἀλλ' ἀρκεῖν πρός τε τὴν τῶν δαιμόνων ἀπαλλαγὴν καὶ πρὸς τὴν ἴασιν τῶν ἀρρωστημάτων τοῦ σώματος τὸ ἐκ τοῦ στόματος αὐτοῦ ἄσθμα διὰ τῆς ὀθόνης τῷ κάμνοντι προσαγόμενον. ἀλλὰ τὸ μὲν πᾶσιν ἐφεξῆς τοῖς παρ' ἐκείνου θαύμασιν ἐπεξιέναι μακρᾶς ἂν εἴη συγγραφῆς καὶ λόγου τὴν παροῦσαν σχολὴν ὑπερβαίνοντος. ἑνὸς δὲ ἢ δυοῖν ἔτι τῶν περὶ αὐτοῦ λεγομένων ἐπιμνησθεὶς ἐν τούτοις περιγράψω τὸν λόγον.

Πανταχοῦ γὰρ ἤδη διαπεφοιτηκότος τοῦ θείου κηρύγματος καὶ πάντων κατά τε τὴν πόλιν καὶ τὴν περίοικον πρὸς τὴν εὐσεβῆ τοῦ δόγματος πίστιν μετατεθέντων βωμῶν τε καὶ ἱερῶν καὶ εἰδώλων ἐν αὐτοῖς ἀνατετραμμένων, καθαρθείσης δὲ ἤδη τῆς ἀνθρωπίνης ζωῆς τῶν περὶ τὰ εἴδωλα μιασμάτων καὶ τῆς μιαρᾶς τῶν θυσιῶν κνίσης ἀποσβεσθείσης καὶ τοῦ ἐπιβωμίου λύθρου καὶ τῶν ἐκ τῆς ζωοθυσίας μολυσμάτων ἀποκλυσθέντων, πάντων δὲ κατὰ πάντα τόπον εὐκτηρίους ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ κατὰ σπουδὴν ναοὺς ἀνεγειρόντων, θυμὸς καὶ φθόνος εἰσέρχεται τὸν τηνικαῦτα τῆς τῶν Ῥωμαίων ἀρχῆς ἐπιστατοῦντα ἐφ' οἷς ἠμελεῖτο μὲν αὐτοῦ τὰ πάτρια τῆς ἀπάτης σεβάσματα ηὐξεῖτο δὲ

15sqq cf Syr c 13

V^{c}SΛΟΕΩUX^{a} 1 τὸν ὦμον Ov 2 οὕτω U post ταράσσεσθαι add ἅμα Ω ἤρξατο Ov 3 διαρριπτεῖσθαι Ov διαρρήγνυσθαι ΛΩU 4 ἐπιδόντος ΛΩU ὁσίου O 5 κατανεύσαντος ΛE ἀποστῆναι X^{a} ἀπέστησεν Ω ante αὐτοῦ add ἀπ' ΛΩ 6 τὸν: τὸ S ante τὸν add ἐποίησεν U post δὲ add παῖδα Ω πάλιν: παῖδα U ante μηκέτι add καὶ Λ 7 τοῦτο τῶν: τούτων X^{a} θαυμάτων: κατορθωμάτων Ω 8 περιεργίᾳ: περιεργείᾳ V^{c} περινοίᾳ SΛEΩUX^{a} τὰ om E τὰ — ἰάσεις om Λ θαύματα om Λ 9 τε om E πρὸς alt om X^{a} 10 αὐτοῦ om X^{a} 11 ἀλλὰ — ὑπερβαίνοντος (13) om X^{a} 12 ἂν om Ov 13 δύο V^{c}Ω ἔτι om E 15 πάντων: τῶν U 16 τε om E 18 καθαρισθείσης E 19 θυσιῶν: εἰδώλων U ἀποσβεσθείσης ante κνίσης coll ΛX^{a} 20 μιασμάτων O 21 τόπον πάντα coll Ov 22 κατὰ σπουδὴν om EX^{a} ἀνεγειράντων SΩ ἐγειρόντων X^{a} post θυμὸς add τις X^{a} 23 τῷ ... ἐπιστατοῦντι ΛOX^{a}v τῶν om X^{a} ἀρχῆς post τῆς coll Ov 24 αὐτοῦ post πάτρια coll X^{a} ηὔξετο S ηὔξητο Λ ηὐξάνετο Ω (-νετο uncis seclusit) ηὔξανε X^{a}

τῶν Χριστιανῶν τὸ μυστήριον καὶ εἰς πλῆθος ἐπεδίδου πανταχοῦ τῆς οἰκουμένης ἡ ἐκκλησία διὰ τῶν ἀεὶ προστιθεμένων τῷ λόγῳ πρὸς μέγεθος αὔξουσα, καὶ νομίσας δυνατὸν εἶναι τῇ θείᾳ δυνάμει τὴν ἰδίαν ἀντιστῆσαι πικρίαν καὶ ἐπισχεῖν μὲν τοῦ μυστηρίου τὸ κήρυγμα καταλῦσαι δὲ τῶν ἐκκλησιῶν τὰ συστήματα μεταστῆσαι δὲ πάλιν ἐπὶ τὰ εἴδωλα τοὺς προκεχωρηκότας τῷ λόγῳ πέμπει πρὸς τοὺς τῶν ἐθνῶν καθηγουμένους πρόσταγμα φοβερὰν κατ' αὐτῶν τὴν ἀπειλὴν τῆς τιμωρίας ὁρίζων, εἰ μὴ παντοίοις αἰκισμοῖς τοὺς τὸ ὄνομα τοῦ Χριστοῦ προσκυνοῦντας διαλωβήσαιντο καὶ προσαγάγοιεν πάλιν αὐτοὺς φόβῳ τε καὶ τῇ τῶν αἰκισμῶν ἀνάγκῃ τῇ πατρῴᾳ τῶν δαιμόνων λατρείᾳ. ὡς δὲ περιηγγέλη τοῖς ἄρχουσι τὸ φοβερὸν τοῦτο καὶ ἄθεον κήρυγμα πανταχοῦ τῆς ἀρχῆς διαπεφοιτηκότων τῶν εἰς αὐτὸ τοῦτο παρὰ τῆς τυραννικῆς τεταγμένων ὠμότητος καί τις ἐπεκράτει τοῦ κατὰ τὸν τόπον ἔθνους τοιοῦτος ὡς μηδὲν τῆς ὑπερκειμένης ἐξουσίας πρὸς τὴν πονηρὰν ὁρμὴν δεηθῆναι οἰκοθεν ἔχων τὴν πικρότητα καὶ τὴν πρὸς τοὺς πεπιστευκότας τῷ λόγῳ δυσμένειαν καὶ γίνεται παρ' αὐτοῦ φόβητρον ἐν δημοσίοις διαγράμμασι τὸ δεῖν ἐξόμνυσθαι τὴν πίστιν ἢ τιμωρίαις παντοδαπαῖς καὶ θανάτῳ κολάζεσθαι καὶ οὐδὲν ἦν ἕτερον τηνικαῦτα δημόσιόν τε καὶ ἴδιον παρὰ τῶν τὰ κοινὰ διὰ χειρὸς ἐχόντων γινόμενόν τε καὶ σπουδαζόμενον πλὴν τοῦ πολιορκεῖν τε καὶ τιμωρεῖσθαι τοὺς ἀντεχομένους τῆς πίστεως — ἦν δὲ οὐκ ἐν ταῖς τῶν λεγομένων ἀπειλαῖς μόνον τὰ φοβερά, ἀλλὰ μετὰ τούτων ἡ ποικίλη τῶν κολαστηρίων κατασκευὴ πᾶσαν ἐπῆγε κατάπληξιν καὶ πρὸ τῆς πείρας ἐμποιοῦσα τοῖς ἀνθρώποις τὸν φόβον· ξίφη καὶ πῦρ καὶ θηρία καὶ βόθροι καὶ τὰ στρεβλωτικὰ τῶν μελῶν ὄργανα καὶ σιδηραῖ κατὰ πυρὸς καθέδραι καὶ ξύλα 945 M.

1sqq cf Act 2,47; 5,14; 6,7

V^{c}SΛOEΩUX^{a} 1 τὸ ante τῶν coll Ω 2 μεγέθους O 3 ἀντιστῆναι X^{a} 4 καὶ om V^{c}S 6 post πέμπει add τοίνυν Ov ἀφηγουμένους E 7 πρόσταγμα: προστάγματα V^{c}SEΩX^{a} 8 τοὺς: τοῖς V^{c} om v τὸν Χριστὸν (τὸ ὄνομα scil om) ΛU 9 προσκυνοῦσι V^{c} ἐπιβοωμένους X^{a} διαλωβήσοιντο O (-σοιτο) EUX^{a}v αὐτοὺς πάλιν coll UX^{a} 10 τῶν ante δαιμόνων om X^{a} 11 περιηγγέλθη V^{c}Ev πονηρὸν ΛEΩU κήρυγμα: δόγμα ΩU 12 διαπεφοικότων X^{a} διαπυτικότων V^{c} τῶν om V^{c} post εἰς add τὸ V^{c} τῆς alt om V^{c} 13 ἐπικράτει V^{c} τόπον: corr e πόντον S πόντον EΩ 14 μῆδε (sic) X^{a} (id est μηδὲ) πονηρὸν X^{a} (sed corr) πικρὰν S 15 post ἔχων add καὶ ἐκ φύσεως X^{a} ἐκ φύσεως SΛOEΩUv post τὴν pr add ὠμότητά τε καὶ Ev 16 καὶ om EΩUX^{a} φοβερὸν Ov 16-17 ἐπὶ δημίοις Ω 17 γράμμασι Λ διατάγμασι Ov post τὸ δεῖν add ἢ SEΩ(sed τὸ δεῖν om) 18 θανάτοις Ev ἕτερον ἦν coll X^{a} post ἕτερον add τὸ ΛU 20 τοῦ: τοῦτο X^{a} τε om U post τε add καὶ πολεμεῖν V^{c}Λ 22 μόνον post φοβερὰ coll X^{a} φόβητρα V^{c}OΩv post ἀλλὰ add καὶ ΛΩ ante ἡ add καὶ U 23 παρασκευὴ ΛΩU σκευὴ E ἐπῆγε: ἔγειρε SX^{a} 24 post ξίφη add τε Ov θῆρες ΛU τὰ om E τὰ — ὄργανα (25): στρεβλωτήρια ΛU 25 κατὰ πυρὸς: κατάπυροι V^{c}SΛX^{a}

ὄρθια οἷς ἐντεινόμενα τῶν ἐνισταμένων τὰ σώματα ταῖς τῶν φοβερῶν ὀνύχων προσβολαῖς κατεξαίνετο, καὶ ἄλλα μυρία πρὸς τὰς πολυειδεῖς βασάνους τῶν σωμάτων ἐξευρημένα παρ' αὐτῶν ἐπενοεῖτο καὶ σπουδὴ τοῖς τῶν ἐξουσιῶν τούτων ἐπειλημμένοις ἦν μία, τὸ μηδένα τοῦ ἑτέρου δεύτερον ἐν ὑπερβολῇ πικρίας ἐπιδειχθῆναι, οἱ μὲν εἰσήγγελλον οἱ δὲ ἐπεδείκνυον οἱ δὲ διηρευνῶντο τοὺς κεκρυμμένους ἄλλοι τοῖς φεύγουσιν ἐπετίθεντο πολλοὶ δὲ πρὸς τὰς κτήσεις τῶν πιστῶν ὁρῶντες, ὡς ἂν ἐγκρατεῖς γένοιντο τῶν πραγμάτων, ἐπὶ τῷ προσχήματι τῆς εὐσεβείας ἤλαυνον τοὺς ἀντεχομένους τῆς πίστεως· σύγχυσις δὲ ἦν πᾶσα κατὰ τὸ ἔθνος καὶ ἀμηχανία πολλὴ πάντων ἀλλήλοις δι' ὑποψίας ὄντων οὐ πατράσι τῆς παρὰ τῶν τέκνων εὐνοίας ἐν τοῖς φοβεροῖς παραμενούσης οὐ παισὶ τὸ πιστὸν τῆς πατρικῆς κηδεμονίας ἐγγυωμένης τῆς φύσεως· ἐμερίζετο δὲ κατ' ἀλλήλων τὰ γένη πρὸς τὰς θρησκείας σχιζόμενα καὶ παῖς ἑλληνίζων πιστῶν γονέων προδότης ἐγίνετο καὶ κατὰ παιδὸς πεπιστευκότος ἐν ἀπιστίᾳ μένων πατὴρ κατήγορος ἦν καὶ ἀδελφὸς ἐκ τῆς αὐτῆς αἰτίας ἐπολέμει τῇ φύσει ὅσιον κρίνων τὸν ὁμογενῆ τιμωρήσασθαι εἰ τῆς εὐσεβείας ἀντέχοιτο. ἐντεῦθεν πλήρεις μὲν ἦσαν αἱ ἐρημίαι τῶν ἐλαυνομένων κεναὶ δὲ τῶν οἰκητόρων αἱ οἰκίαι· πολλὰ δὲ τῶν δημοσίων οἰκημάτων ταῖς τούτων ἀπετέτακτο χρείαις (οὐ γὰρ ἦν ἱκανὰ τὰ δεσμωτήρια χωρεῖν ἐν ἑαυτοῖς τῶν διὰ τὴν πίστιν τιμωρουμένων τὸ πλῆθος) ἀγοραί τε πᾶσαι καὶ σύλλογοι κοινοί τε καὶ ἰδιάζοντες ἀντὶ τῆς συνήθους φαιδρότητος τὰς τοιαύτας μετελάμβανον συμφορὰς τῶν μὲν ἐφελκομένων τῶν δὲ ἀπαγομένων ἄλλων ἐπὶ τοῖς γινομένοις ἢ γελώντων ἢ δακρυόντων. οὐ νηπίων ἦν ἔλεος οὐ τιμὴ πολιᾶς οὐκ ἀρετῆς αἰδώς, ἀλλ' ὡς ἐν αἰχμαλωσίᾳ πᾶσα ἡλικία τοῖς πολεμίοις τῆς πίστεως ἔκδοτος ἦν οὐδὲ ταῖς γυναιξὶν ἐδίδου ἡ φυσικὴ τοῦ γένους ἀσθένεια τῶν τοιούτων ἀγώνων μένειν ἐκτός, ἀλλ' εἷς ἦν κατὰ πάντων ὁ

10sqq cf Marc 13,12sq; Luc 21,16sq

V^{c}SΛOEΩUX^{a} 2 post ἄλλα add δὲ X^{a} 3 αὐτοῖς Ov ἐπενοεῖτο: ἐπεγίνετο X^{a} 5 δεύτερον: om V^{c}O δευτέρου (ἑτέρου omisso) S ante πικρίας add τῆς ΛU κακίας E post ἐπιδειχθῆναι add πραότερον V^{c}SOX^{a} ante οἱ pr add καὶ SOv 6 ἠρεύνων Ov 7 πολλοὶ: ἄλλοι Ov 10 ἀλλήλους V^{c} ἀλλήλων Ω ὄντων: ἐχόντων Ω 11 εὐποιΐας E 13 ἐμερίζοντο Ω τὰ γένη κατ' ἀλλήλων E 14 κατὰ om Ω 15 ante πατὴρ add ὁ OEΩv 16 αἰτίας: οὐσίας E τῇ φύσει om U τιμωρηθῆναι V^{c} 17 αἱ om S 18 post δὲ alt add τὰ X^{a} 19 οἰκημάτων om V^{c} τούτων: τῶν δεσμωτηρίων ΛEΩUX^{a} τῶν καθειργνυμένων SOv 20 αὐτοῖς SΛEUX^{a} 21 τε pr: τότε EU τε corr m rec e verbo 3-4 litt V^{c} 22 τῆς τοιαύτης ... συμφορᾶς E 23 προσαγομένων X^{a} 24 νηπίοις ΛUX^{a} ἦν: post ἔλεος coll S om V^{c}OX^{a} 25 post αἰδὼς add τοῖς δυσμενέσι S εἰσήει τοῖς δυσμενέσι Ov 27 ἀγώνων: ἀναγκῶν ΛOEUv ἐκτὸς μένειν coll ΛΩUv

τῆς ὠμότητος νόμος ἴσῳ τῷ μέτρῳ τῶν γινομένων ὑπάγων τὸν τῶν εἰδώλων ἀλλοτριούμενον μὴ διακρίνων τὴν φύσιν — τότε συνιδὼν ὁ μέγας ἐκεῖνος τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν ὡς οὐ δυναμένων τῶν πολλῶν μέχρι θανάτου τῆς εὐσεβείας προαγωνίσασθαι σύμβουλος γίνεται τῇ ἐκκλησίᾳ μικρὸν ἐκχωρῆσαι τῇ φοβερᾷ προσβολῇ κρεῖττον ἡγούμενος διὰ φυγῆς τὰς ψυχὰς αὐτῶν περισώσασθαι ἢ ἑστῶτας ἐπὶ τῆς τῶν ἀγώνων παρατάξεως λειποτάκτας γενέσθαι τῆς πίστεως, καὶ ὡς ἂν μάλιστα πεισθεῖεν οἱ ἄνθρωποι μηδένα κίνδυνον τῇ ψυχῇ φέρειν τὸ τὴν πίστιν διὰ φυγῆς περισώσασθαι, τῷ καθ' ἑαυτὸν ὑποδείγματι σύμβουλος τῆς ἀναχωρήσεως γίνεται αὐτὸς πρὸ τῶν ἄλλων ὑποχωρήσας τῇ τοῦ κινδύνου φορᾷ. ἅμα δὲ καὶ τοῦτο τοῖς κρατοῦσι μάλιστα διὰ σπουδῆς ἦν τὸ δι' ἐκείνου καθάπερ στρατηγοῦ χειρωθέντος πᾶσαν διαλῦσαι τῆς πίστεως τὴν παράταξιν, καὶ τούτου χάριν ἐκεῖνον ὑπὸ χεῖρα 948 M. ποιήσασθαι τοῖς ἐχθροῖς διεσπούδαστο.

Ὁ δὲ ἦν ἔρημόν τινα καταλαβὼν λοφιὰν ἔχων μεθ' ἑαυτοῦ τὸν ἐκ νεωκόρου κατ' ἀρχὰς προσαχθέντα τῇ πίστει ἤδη τῇ χάριτι τῆς διακονίας ὑπηρετούμενον. τῶν δὲ διωκόντων κατ' ἴχνος ἑπομένων ἐν πλήθει πολλῷ μηνύσαντος αὐτοῖς τὸν τόπον τινὸς ἐν ᾧ κατεκρύπτετο οἱ μὲν ἐν κύκλῳ τὴν ὑπώρειαν τῆς λοφιᾶς διαλαβόντες ἐφύλασσον ὡς ἂν μηδαμόθεν αὐτῷ γένοιτο διαφυγεῖν εἴπερ εἰς τοῦτο τραπείη, οἱ δὲ προσβάντες τῷ ὄρει κατὰ πᾶν μέρος διερευνώμενοι ἤδη καταφανεῖς ἐγίνοντο τῷ μεγάλῳ κατ' εὐθεῖαν πρὸς αὐτὸν ἀνατρέχοντες. ἐκεῖνος δὲ

15sqq cf Syr c 14

V^{c}SΛOEΩUX^{a} 1 τῶν γινομένων: τῆς τιμωρίας ΛX^{a} τῆς τιμωρίας τῶν γινομένων v ὑπαγόντων (τὸν omisso) E τῶν ante εἰδώλων om Ω 2 ἀλλοτριουμένων V^{c}E μὴ om V^{c} ante μὴ add καὶ X^{a} συνιδὼν: ἰδὼν Λ συνειδὼς V^{c} (-ος) O οὖν ἰδὼν Ev 4 post μέχρι add τοῦ V^{c}SOv προσαγωνίσασθαι V^{c} ὑπεραγωνίσασθαι SU ἀνταγωνίσασθαι Ω 5 τῆς ἐκκλησίας E ὑποχωρῆσαι Ev post κρεῖττον add εἶναι Ev 6 ἡγούμενος: λέγων E αὐτῶν: om Λ ante τὰς coll ΩU διασώσασθαι Ω 7 λιποτάκτους Ov τῆς πίστεως γενέσθαι X^{a} 8 φέρειν τῇ ψυχῇ coll Ev 10 γίνεται ante τῆς coll ΛU ἀναχωρήσας V^{c}Ov 11-12 διὰ σπουδῆς μάλιστα coll Ov 13 τούτου: τοῦ U ἐκεῖνον post χεῖρα coll U ὑποχείριον X^{a} 14 ποιήσασθαι ante ὑπὸ (13) coll V^{c} 15 δὲ: malim μὲν οὖν ἦν om Ω καταλαβὼν τινὰ (sic) E 16 νεωκόρων Λ 17 ἐν: σὺν S 18 πολλῷ om Λ καταμηνύσαντος ΩX^{a} τινος τὸν τόπον Λ κατεκρύπτετο corr m rec e κατέκρυπτο O 19 ἐν om X^{a} λοφιᾶς: φιλοσοφίας U ἐφύλαττον ΛOΩUv ὅπως V^{c}OEv ἂν om X^{a} 20 αὐτῷ om O 21 ἐγένοντο V^{c}Ω ἐγίνοντο post μεγάλῳ coll OS (sed ἐγένοντο) X^{a} (sed γίνονται)

διακελευσάμενος τῷ μεθ' ἑαυτοῦ στερρᾷ τε καὶ ἀδιστάκτῳ τῇ πεποιθήσει στῆναι πρὸς τὸν θεὸν καὶ καταπιστεῦσαι τὴν σωτηρίαν ὁμοίως αὐτῷ τὰς χεῖρας εἰς προσευχὴν ἀνατείναντα καὶ μηδὲ εἰ πλησίον γένοιντο οἱ διώκοντες ἐκκρουσθῆναι τῷ φόβῳ τὴν πίστιν ὑπόδειγμα τῆς παραγγελίας ἑαυτὸν ἐποίει τῷ διακόνῳ βλέπων τε πρὸς τὸν οὐρανὸν ἀμετατρέπτῳ τῷ ὄμματι καὶ τεταμέναις ταῖς χερσὶν ἐν ὀρθίῳ τῷ σχήματι. καὶ οἱ μὲν ἐν τούτοις ἦσαν, οἱ δὲ πρὸς αὐτοὺς ἀναδραμόντες πανταχῇ τὸν τόπον περισκεψάμενοι καὶ πᾶσαν ἔνστασιν θάμνου καὶ πᾶσαν πέτρας προσβολὴν καὶ πᾶσαν ἐκ χαράδρας κοιλότητα μετὰ πάσης ἀκριβείας διερευνησάμενοι πάλιν τὴν ὑπώρειαν καταλαμβάνουσιν ὡς φόβῳ τῶν διερευνωμένων αὐτὸν εἰς φυγὴν τραπέντα τοῖς κάτω περιεστοιχισμένοις ὑπὸ χεῖρα γενέσθαι. ὡς οὖν οὔτε παρὰ τούτων εὑρέθη καὶ παρ' ἐκείνοις οὐκ ἦν, ὁ δὲ τὸν τόπον τῆς τοῦ μεγάλου διαγωγῆς κατασκεψάμενος σημείοις ὑπέγραφεν ἐν ᾧ διεβεβαιοῦντο οἱ ζητηταὶ μηδένα ἑωρακέναι πλὴν εἰ μὴ δύο δένδρα μόνον μικρὸν ἀπ' ἀλλήλων διεστηκότα, ἀνακεχωρηκότων δὲ τῶν ζητούντων ὑπολειφθεὶς ὁ μηνυτὴς καὶ καταλαβὼν ἐν προσευχῇ αὐτόν τε τὸν μέγαν καὶ τὸν σὺν αὐτῷ καὶ γνοὺς τὴν θείαν φρουρὰν δι' ἧς ἐκεῖνοι δένδρα τοῖς διώκουσιν ἐνομίσθησαν, προσπίπτει τε αὐτῷ καὶ πιστεύει τῷ λόγῳ, καὶ ὁ πρὸ βραχέος διώκτης εἷς τῶν φευγόντων ἐγένετο. μενόντων τοίνυν κατὰ τὴν ἔρημον χρόνον πολύν — ἐπεκράτει γὰρ ὁ κατὰ τῆς πίστεως πόλεμος χαλεπῶς τοῦ καθηγουμένου κατὰ τῶν προστιθεμένων τῷ λόγῳ τῆς εὐσεβείας λυσσῶντος — καὶ πάντων πρὸς φυγὴν τετραμμένων ἐπειδὴ τὸ κατὰ τὸν μέγαν αὐτοῖς ἀπ' ἐλπίδος ἦν ὡς οὐκ ἂν ὑπὸ χεῖρά ποτε γενόμενον τοῖς διώκουσι, τότε κατὰ τῶν ὑπολοίπων τὴν λυσσώδη πικρίαν ἑαυτῶν τρέφαντες πανταχῇ κατὰ τὸ ἔθνος διηρευνῶντο πάντας ὁμοίως ἄνδρας τε

V^{c}ΣΛΟΕΩUX^{a} 1 διακελευόμενος U μεθ' ἑαυτοῦ: μετ' αὐτοῦ ΣΛΕΩU X^{a}v στερρᾷ X^{a} στερεᾷ Ev πεποιθήσει: πίστει ΛU 2 ὁμοίως om ΛΕΩUv 3 ἀνατείναντι S καὶ om V^{c}EΩ εἰ: ἢ V^{c} γένοντο V^{c} 4 post ὑπόδειγμα add δὲ EΩv τῆς om O 5 τὸν om Ov ἀμεταστρέπτῳ E 6 τῷ pr om Ev καὶ pr om ΣΛΟΕΩ τεταμένως U αἴρων τὰς χεῖρας U ταῖς om E σώματι U 7 τούτοις: τούτῳ ΛΩU αὐτὸν O 8 κατασκεψάμενοι V^{c} ἀνάστασιν S 9 ἐκ om U ἐν χαράδραις S 11 αὐτὸν om Ov εἰς: πρὸς ΣΛEUX^{a} τραπέντων O τραπόντων v 12 οὐδὲ V^{c} ηὑρέθη V^{c} 13 δὲ om ΛX^{a} post μεγάλου add Γρηγορίου Ω διασκεψάμενος X^{a} 14 σημεῖον O ζητεῖται V^{c} ζητοῦντες ΛOUv 15 πλὴν om ΛEU μόνον: om Ω μόνα V^{c}S μικρὸν post ἀλλήλων coll E διεστῶτα Ω 17 ἐν προσευχῇ post μέγαν coll ΛU 18 διώκουσιν: ζητοῦσιν U 19 βραχέως V^{c}X^{a} 20 ἐγίνετο ΛOX^{a} 23 φυγὴν: αὐτὴν Λ τὸ: om U τὸν V^{c} τὰ SEX^{a} κατὰ om U 24 post μέγαν add Γρηγόριον Ω γενησόμενον ΛΩ 25 ante λυσσώδη add μιαρὰν καὶ Ω πικρίαν: μανίαν Ov 26 ante πάντας add καὶ ΛUΩ

καὶ γυναῖκας καὶ παῖδας, ὅσοις τὸ ὄνομα τοῦ Χριστοῦ σεβάσμιον ἦν, καὶ εἶλκον ἐπὶ τὴν πόλιν καὶ τὰ δεσμωτήρια κατεπλήρουν ἀντ' ἄλλης τινὸς ἀδικίας ἔγκλημα κατ' αὐτῶν ποιούμενοι τὴν εὐσέβειαν, ὡς μηδενὶ τότε τῶν κοινῶν προσασχολεῖσθαι τὰ δικαστήρια ἢ τοῦτο μόνον διὰ σπουδῆς τοῖς κρατοῦσιν εἶναι τὸ πάντας αἰκισμοὺς καὶ παντοίας στρεβλώσεις δι' ἐπινοίας ἐπάγειν κατὰ τῶν ἀντεχομένων τῆς πίστεως.

Ἔνθα δὴ καὶ μᾶλλον κατάδηλον πᾶσι γίνεται τὸ μηδὲν ἀθεεὶ τὸν 949 M.
μέγαν ἐκεῖνον βουλεύεσθαι. φυλάξας γὰρ ἑαυτὸν διὰ τῆς φυγῆς τῷ λαῷ κοινὴ συμμαχία τοῖς ὑπὲρ τῆς πίστεως ἀγωνιζομένοις ἅπασιν ἦν. καθάπερ γὰρ περὶ τοῦ Μωϋσέως ἀκούομεν ὅτι πόρρωθεν ἀφεστὼς τῆς τῶν 'Αμαληκιτῶν παρατάξεως διὰ προσευχῆς ἐνετίθει τοῖς ὁμοφύλοις κατὰ τῶν ὑπεναντίων τὴν δύναμιν, τὸν αὐτὸν τρόπον κἀκεῖνος οἷον ἐφορῶν τῷ ὀφθαλμῷ τῆς ψυχῆς τὰ γινόμενα τὴν θείαν ἐπεκαλεῖτο συμμαχίαν ὑπὲρ τῶν ἐναθλούντων τῇ ὁμολογίᾳ τῆς πίστεως. καί ποτε μετὰ τῶν συνόντων κατὰ τὸ σύνηθες τῷ θεῷ προσευχόμενος ἀθρόως ἀγῶνός τε καὶ θορύβου καταπλησθεὶς εὔδηλος ἦν τοῖς παροῦσιν οἷον ξενιζόμενος καὶ ἐναγωνιῶν τῷ θεάματι καὶ τὴν ἀκοὴν ἐπέχων καθάπερ ἤχου τινὸς πρὸς αὐτὸν διαβαίνοντος, καὶ διαγενομένου διαστήματος οὐκ ὀλίγου μείνας πάντα τὸν ἐν τῷ μέσῳ χρόνον ἀκλινὴς καὶ ἀκίνητος εἶθ' ὥσπερ τοῦ προκειμένου θεάματος εἰς ἀγαθὸν καταλήξαντος πάλιν ἐπανῆλθέ τε πρὸς τὸ σύνηθες καὶ ἀνευφήμησε τὸν θεὸν λαμπρᾷ τῇ φωνῇ τὸν ἐπινίκιόν τε καὶ εὐχαριστήριον λόγον ἐπιφθεγξάμενος ὃν πολλαχῇ τῆς ψαλμῳδίας τοῦ Δαβὶδ ἀκούομεν λέγοντος Εὐλόγητος ὁ θεὸς ὃς οὐκ ἔδωκεν

10sqq cf Exod 17,11sqq 13 ὀφθαλμῷ cf Plato Resp 533d 14sqq cf Syr c 6 23-50,1 Ps 123,6

V^{c}SΛOEΩUX^{a} 1 ante σεβάσμιον add τὸ OUv 2 καὶ ante εἶλκον om ΛUΩ τὰ om SΛ ἐπλήρουν U 3 κατ' αὐτῶν post ποιούμενοι coll EΩUv 4 προασχολεῖσθαι Ω 4-5 κατὰ σπουδὴν sed post εἶναι coll V^{c} 5 πάντας: παντοίους X^{a} 7 πᾶσι κατάδηλον Ev πᾶσι φανερὸν OX^{a} γενέσθαι X^{a} 9 πίστεως: εὐσεβείας U ἐναγωνιζομένοις X^{a} 10 Μωσέως EΩX^{a} ἀφεστηκὼς OUv 11 ἐτίθει E 12 τὴν om O ante τὸν add κατὰ EΩUv ἀφορῶν E 13 ὀφθαλμῷ post ψυχῆς coll V^{c}SΛ ὁρώμενα E 15 τε om V^{c} 16 πλησθεὶς SE ἔνδηλος OEv post ἦν add ἐν Ev 17 ὑπέχων V^{c}SΛU καθάπερ: ὥσπερ V^{c}U 18 διαβαίνοντος πρὸς αὐτὸν Λ διαγεινομένου V^{c} διαγινομένου O 19 τῷ om ΛΩX^{a} εἶθ': εἶτα ΩU ἦν E ὥσπερ: καθάπερ Ω 20 ante πάλιν add καὶ E τε om V^{c}ΛEU 21 πρὸς: εἰς V^{c} (corr e πρός τε m rec) EU ἀνευφήμισεν V^{c} ἀνεφήμησεν Λ sed corr ante λαμπρᾷ add ἐν OEΩv λαμπροτάτῃ (τῇ scil om) v 22 τε om Ω χαριστήριον X^{a} λόγον: ὕμνον ΛOv 23 ἀκηκόαμεν V^{c} ἀκούομεν post ψαλμῳδίας coll SΩX^{a} post λέγοντος add τὸ EUv ὁ θεὸς: κύριος O

ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. τῶν δὲ περὶ αὐτὸν θαυμαστικῶς διατεθέντων καὶ μαθεῖν ἀξιούντων ὅ τί ποτε εἴη τὸ ἐν ὀφθαλμοῖς αὐτοῦ γενόμενον θέαμα εἰπεῖν λέγεται μέγα πτῶμα κατὰ τὴν ὥραν ἐκείνην ἑωρακέναι καταπαλαισθέντος τοῦ διαβόλου ὑπὸ νεανίου τινὸς ἐν τοῖς ὑπὲρ τῆς εὐσεβείας ἀγῶσι. τῶν δὲ ἀγνοούντων ἔτι τὸ εἰρημένον σαφέστερον αὐτοῖς διηγεῖται, ὅτι συμμαχίᾳ κρείττονι κατὰ τὴν ὥραν ἐκείνην νεανίας τις τῶν εὐπατριδῶν τοῖς ἱδρῶσι τῆς πίστεως ἐνηγωνίσατο προσαχθεὶς ὑπὸ τῶν δημίων τῷ ἄρχοντι. προσέθηκε δὲ καὶ τὸ ὄνομα Τρωάδιον αὐτὸν ὀνομάσας καὶ ὅτι μετὰ πολλὰς βασάνους, αἷς γενναίως ἐνεκαρτέρησε, τὸν διὰ τῆς μαρτυρίας ἀνεδήσατο στέφανον. ἐκπλαγεὶς δὲ πρὸς τὴν ἀκοὴν ὁ διάκονος καὶ οὔτε ἀπιστεῖν τῷ λεγομένῳ τολμῶν καὶ ἅμα κρεῖττον τῆς ἀνθρωπίνης φύσεως εἶναι νομίσας τὸ πόρρωθεν ὄντα τῆς πόλεως μηδενὸς ἀνθρώπου τὰ κατ' αὐτὸν διαγγείλαντος ὡς ἐφεστῶτα τοῖς πράγμασι λέγειν πρὸς τοὺς συνόντας περὶ τῶν ἐκεῖ γενομένων, ἱκέτης γίνεται τοῦ διδασκάλου ὀφθαλμοῖς ἐπιτραπῆναι γνῶναι τὰ πεπραγμένα καὶ μὴ κωλυθῆναι παρ' αὐτοῦ γενέσθαι μέχρι τῶν τόπων αὐτῶν ἐν οἷς τὸ θαῦμα ἐγένετο. τοῦ δὲ φοβερὸν εἶναι λέγοντος ἐν μέσῳ τῶν φονευτῶν γενέσθαι καί τι (πολλάκις ἐξ ἐπηρείας τοῦ ἀντικειμένου) τῶν ἀβουλήτων παθεῖν, ἐπιθαρσεῖν ἔλεγεν ὁ διάκονος τῇ τῶν εὐχῶν αὐτοῦ συμμαχίᾳ φθεγξάμενος ταύτην πρὸς αὐτὸν τὴν φωνήν, ,,Σύ με παράθου τῷ σῷ θεῷ καὶ οὐδείς μου φόβος ἐκ τῶν πολεμίων καθάψεται.'' τοῦ δὲ καθάπερ συνέμπορον τὴν τοῦ θεοῦ βοήθειαν αὐτῷ διὰ τῆς εὐχῆς συνεκπέμψαντος πεποιθὼς τὴν ὁδὸν διῄει πρὸς οὐδένα τῶν ἀπαντώντων ἐπιστρεφόμενος. ἐσπέριος δὲ τῆς πόλεως
952 M. ἐντὸς γεγονὼς καὶ κοπώδης ἐκ τῆς ὁδοιπορίας γενόμενος λουτρῷ θερα-

---

V^{c}SΛOEΩUX^{a} 2 αὐτῶν X^{a} 4 τεθεακέναι O νεανίσκου V^{c} 5 τῆς om ΛOv 9 post ὄνομα add αὐτοῦ X^{a} post πολλὰς add τὰς E 10 ἐνεκαρτέρησε: ἐνηγωνίσατο ΩU ἠγωνίσατο E τοῦ μαρτυρίου Ω 11 οὐδὲ U τινι τῶν λεγομένων Ov τῶν λεγομένων Ω τοῖς λεγομένοις U 12 κρείττω OS εἶναι om U 13 αὐτὴν U ἀναγγείλαντος Ω 15 γινομένων ΩU 16 ante γνῶναι add καὶ v γνῶναι: ἰδεῖν (sed post ὀφθαλμοῖς (15) coll) ΩUX^{a} ante γενέσθαι add ἀλλὰ Ω 17 αὐτῶν: αὐτὸν X^{a} τὸ θαῦμα om V^{c} 18 post λέγοντος add τὸ OEv ἐν μέσῳ: μέσων U φονώντων SΛX^{a} φονευόντων V^{c}EΩ καί τι: μή τι S καὶ δέος μή τι καὶ U τι: coll ante τῶν ἀβουλήτων (19) EΩv post ἀβουλήτων O 19 παθεῖν post ἀντικειμένου coll Ω ἐπιθαρσεῖν om S 20 φθεγγόμενος E 21 σῷ om OΩU μου: μοι Ov ἐκ: om O καὶ E 22 συνοδοιπόρον V^{c}S 23 αὐτῷ ante τὴν (22) coll v διίει Ω 24 οὐδὲν E ἁπάντων V^{c}U ἑσπέρας OΩU 25 γεγονὼς: γενόμενος U γενόμενος: ὢν ΛU om E

